XXVII. Quoniam multos socios habebat, restitit C. Gracchus; et in diem magis depressus et spe sua frustratus in furorem et quasi rabiem quandam incidit. Nam conjuratos in domum suam convocavit, et cum Flacco deliberatione habita, armis adversarios vincendos esse ac vim manuum consulibus et senatui admovendam decrevit. Jussit igitur ut omnes sub toga gladios gestantes ipsumque comitantes, ad mandata essent intenti. Et quo tempore Opimius de iis quæ e republica forent in Capitolio deliberabat, ascendit eo Gracchus caterva stipatus conjuratorum; sed templum præoccupatum et optimatium permultos eo convenisse videns, in porticum, quæ pone templum est, abscessit conscientia ausi perturbatus pœnisque exagitatus. Dum sic quasi œstro immisso concitatur, Quintus *Antyllus*, quo familiariter uti solebat, ad genua ejus provolutus precatur, ne quid violenti et immedicabilis in patriam velit committere. Ille vero tyrannice jam se gerens, pronum in humum protrudit et comitantibus imperat, ut trucident hominem et hoc pœnarum ab adversariis sumendarum faciant initium. Consul vero perterritus cædem hanc atque insidias quæ ipsis struerentur, senatui renuntiavit. *Quære in Excerptis De commissione bellorum.*

---

εἰς τὴν Ἔνναν τὴν πόλιν εἰσπίπτουσιν, ἀφηγουμένου αὐτῶν καὶ τοῦ πυρὸς τὰς φλόγας τερατευομένου τούτοις τοῦ Εὔνου. Ταῖς δ' οἰκίαις ἐπεισελθόντες πλεῖστον φόνον εἰργάσαντο, μηδ' αὐτῶν τῶν ὑπομαζίων φειδόμενοι. — 1. δοῦλοι] δούλου codex. Mox supplevi ἀκούσας; contra μὲν particulam uncis inclusi. — 2. πεπρωμένης] πειρομένης cod. — 3. διατρίβοντας] διατρίβωντας cod. — 4. ἀνελάμβανον] ἀνελάμβανεν cod.; mox ὑπερηφάνων cod.

XXVII. *Fol.* 185, 3 — 21 *r.* Cf. Plutarch. C. Gracch. 13 sq. p. 1002 ed. Didot., ubi tamen aliter res exponitur, et omnino alius est quasi color et ingenium narrationis. Ad Diodorum proxime accedit Appianus Bell. Civ. I, 24, unde Diodorea in nonnullis supplere licet: Ὁ δὲ Γράκχος καὶ ὁ Φούλβιος ἐπεὶ καὶ τοῦτο ἐξέπιπτον, μεμηνόσιν ἐοικότες ἐψεῦσθαι τὴν βουλὴν ἔφασκον κτλ. — Fragmentum inserendum ante XXXIV, 29 (121 a. C.). — 1. τηβέννας] τιβ. cod. — 2. ἐν τῷ Καπ.] εἰς τὸ καπιτώλιον cod.

**XXVIII.** Ὅτι ἧκεν εἰς τὴν Ῥώμην ἀπὸ τοῦ βασιλικοῦ γένους ὑπάρχων Ἰογόρθας ἕτερος, ἀντιποιούμενος τῆς Νομαδικῆς βασιλείας. Εὐδοκιμοῦντος δὲ αὐτοῦ καθ' ὑπερβολὴν, ὁ Ἰογόρθας μισθωσάμενός τινας σφαγεῖς τοῦτον μὲν ἐδολοφόνησεν, αὐτὸς δὲ οὐδενὸς κωλύοντος ἐπανῆλθεν εἰς τὴν βασιλείαν.

**XXIX.** Ὅτι ὁ πρεσβύτερος Πτολεμαῖος ἐν Σελευκείᾳ τῇ πόλει ὢν συγκεκλεισμένος, ὑπό τινος τῶν φίλων ἐπιβουλευθεὶς, τὸν μὲν ἐπιβουλεύσαντα συλλαβὼν ἐτιμωρήσατο, εἰς δὲ τὸ λοιπὸν οὐ τοῖς τυχοῦσι φίλοις ἑαυτὸν ἐπίστευεν.

**XXX.** Ὅτι πολλαὶ (1) ἐπαναστάσεις ἐγένοντο οἰκετῶν. Πρώτη μὲν ἡ περὶ τὴν (2) Νουκερίαν· τριάκοντα οἰκετῶν συνωμοσίαν ποιησαμένων καὶ ταχὺ κολασθέντων· δευτέρα δὲ (3) ἡ περὶ τὴν Καπύην, διακοσίων οἰκετῶν ἐπαναστάντων καὶ ταχὺ κολασθέντων (4)· τρίτη δὲ ἀπόστασις ἐγένετο παράδοξος καὶ πολὺ τὰς εἰθισμένας διαλλάττουσα (5). Ἦν γάρ τις Τίτος μὲν Οὐέττιος ἱππεὺς δὲ (6) Ῥωμαίων, ὃς ἔχων πατέρα μεγαλόπλουτον, καὶ νέος ὢν παντελῶς, εἰς ἐπιθυμίαν ἦλθε ἀλλοτρίας θεραπαινίδος, κάλλει διαφερούσης. Ἐπιπλακεὶς (7) δὲ αὐτῇ καὶ συμβιώσας ἱκανόν τινα χρόνον εἰς ἔρωτα παράδοξον ἐνέπεσε καὶ διάθεσιν μανίᾳ παρεμφερῆ. Διὰ γὰρ τὴν φιλοστοργίαν ἐπιβαλόμενος ἐξαγοράσαι τὴν παιδίσκην, τὸ μὲν πρῶτον ἔσχε τὸν δεσπότην αὐτῆς ἀντιπράττοντα, μετὰ δὲ ταῦτα τῷ μεγέθει τῆς τιμῆς προτρεψάμενος ἐξηγόρασεν αὐτὴν ταλάντων Ἀττικῶν ἑπτὰ, καὶ τὴν ἀπόδοσιν τῆς τιμῆς εἰς τακτὸν χρόνον συνέθετο. Πιστευθεὶς δὲ τοῦ χρήματος διὰ τὴν τοῦ πατρὸς εὐπορίαν, ἀπήγαγε τὴν θεραπαινίδα, καὶ καταδὺς εἴς τινα τῶν πατρικῶν ἀγρῶν ἐξεπλήρου τὴν ἰδίαν ἐπιθυμίαν. Ὡς δὲ ὁ συγκείμενος τοῦ χρέους χρόνος διῆλθεν, ἧκον οἱ πεμφθέντες εἰς τὴν ἀπαίτησιν. Ὁ δὲ εἰς τὴν τριακοστὴν ἡμέραν ἀναβαλόμενος τὴν ἀπόλυσιν, καὶ τὸ μὲν χρῆμα οὐ δυνάμενος πορίσαι, τῷ δὲ ἔρωτι δουλεύων, ἐπεχείρησε πράξει παραλογωτάτῃ (8).

**XXVIII.** Romam venit e regia familia ortus Jugurtha alter, regnum Numidarum sibi vindicaturus. Qui quum multa gratia apud Romanos pollere cœpisset, Jugurtha per sicarios mercede conductos interficiendum curavit. Ipse, nemine prohibente, in regnum suum reversus est.

**XXIX.** Ptolemæus senior, dum in Seleucia urbe inclusus tenebatur, amici cujusdam insidiis appetitus, hunc quidem comprehensum supplicio affecit, in posterum vero haud obviis quibusque se commisit.

**XXX.** Complures tunc seditiones servorum exarserunt. Prima Nuceriæ fuit, ubi triginta servi conjurationem inter se fecerunt, sed mox pœnas dedere. Secunda exstitit Capuæ, ubi servi ducenti rebellarunt, at mox item puniti sunt. Tertia a reliquis quæ fieri solebant plane differens mirum in modum accidit. Titus quidam Vettius erat, eques Romanus, patre natus ditissimo. Is, juvenis admodum, famulæ alienæ, insigniter formosæ, amore captus est. Et amplexu ejus potitus et per tempus aliquod cum ea consuescens, mirifice puellam et ad insaniam usque deperire cœpit. Qua amoris vehementia impulsus quum redimere puellam vellet, initio dominum obstrepentem habuit, mox magnitudine pretii eum demulcens emit puellam talentis Atticis septem, certumque solvendæ pecuniæ diem constituit. Fidem conciliabat patrimonium. Itaque servam abduxit, et in unum ex agris paternis se abscondens libidinem satiavit. Mox quum dies pecuniæ solvendæ adesset, venerunt qui pretium exigerent. Ille in trigesimum inde diem solutionem remisit. Et quum etiam tunc solvendo non esset, simulque amoris vi subactus teneretur, facinus tandem insolens aggres-

---

XXVIII. *Fol.* 185, 22 — 26 *r.* Ἰογόρθας ἕτερος] *Massivam* appellat Sallust. Jug. 35; Liv. Ep. 64. Fragmentum pone post lib. XXXIV, c. 35 (110 a. C.).

XXIX. *Fol.* 185, 26—29 *r.* ὁ πρεσβύτερος Πτολεμαῖος] Ptolemæus VIII Soter II, filius Ptolemæi VII Soteris I, frater major Alexandri I. Is regno pulsus (107 a. C.), e Cypro, quam obtinebat, in Syriam trajecit, ut Antiocho Cyziceno contra Antiochum Grypum auxiliaretur (103 a. C.). Quæ in Syria gesserit Ptolemæus narrat Josephus XIII, 12, 3. Verum de rege in Seleucia urbe obsesso nihil ibi traditur. De temporibus ejus v. disputationem Letronnii in *Inscript. gr. de l'Égypte.* tom. I, p. 53 sqq. Insere fragmentum post XXXIV, 39.

XXX. *Fol.* 185, 30 *r.* — 185, 24 *v.* Diodorus de Siculo bello servorum, quod gestum est inde ab anno 102 a. C expositurus, præmisit nonnulla de similibus rebellionibus, quæ alibi ante Siculam illam iisdem fere temporibus exarserint. Eundem locum etiam Photius p. 529 excerpsit (Diodor. XXXVI, 2 p. 550 ed. Didot.). Notabo varietatem lectionis. — 1. Photius plenius ita: Πρὸ δὲ τῆς κατὰ τὴν Σικελίαν τῶν δούλων ἐπαναστάσεως ἐγένοντο κατὰ τὴν Ἰταλίαν πλείους ἀποστάσεις ὀλιγοχρόνιοι καὶ μικραὶ, καθάπερ τοῦ δαιμονίου προσημαίνοντος τὸ μέγεθος τῆς ἐσομένης κατὰ τὴν Σικελίαν ἐπαναστάσεως. Πρώτη μὲν κτλ. ut apud Nostrum. — 2. τὴν] om. Phot. — 3. δὲ] om. Phot. — 4. καταλυθέντων Photius, melius. — 5. τρίτη δὲ... διαλλάττουσα] Photius brevius: Τρίτη δὲ παράδοξος γέγονέ τις. Et deinde: Ἦν Τίτος Μινούτιος, omissis γάρ τις. Pro Μινούτιος ipse Photius in seqq. habet Οὐέττιος. Unde priore loco reponendum esse μὲν Οὐέττιος recte monuit Wesselingius. Ceterum pro Τίτος in nostro codice est τύγγος μὲν οὐέττιος. — 6. Photius: Ἱππεὺς μὲν Ῥωμαίων, μεγαλοπλούτου δὲ πατρὸς παῖς. Οὗτος ἠράσθη θεραπαινίδος ἀλλοτρίας κάλλει διαφ. — 7. Photius συμπλακεὶς (vocab. rarius ἐπιπλακεὶς eodem sensu e Posidonio habes ap. Athen. p. 211, F. Eodem fonte utitur Diodorus. Vide Posidon. fr. 15) δ' αὐτῇ καὶ εἰς ἔρωτα παράδοξον αὐτῆς ἐμπεσὼν ἐξηγόρασεν αὐτὴν, οὕτω τοῦ τε μανιώδους ἔρωτος βιαζομένου καὶ τοῦ κυρίου τῆς κόρης τὴν πρᾶσιν μόλις κατανεύσαντος, ταλάντων Ἀττικῶν ἑπτὰ, καὶ χρόνον ὥρισε καθ' ὃν ἀποτίσει τὸ χρέος. Ἐπιστεύετο δὲ διὰ τὴν πατρῴαν περιουσίαν. Ἐνστάντος δὲ τοῦ ὁρισθέντος, καὶ μὴ ἔχων ἀποδοῦναι, πάλιν ἔταξε τριάκοντα ἡμερῶν προθεσμίαν. Ὡς δὲ καὶ ταύτης ἐπιστάσης, οἱ μὲν ἀπήντουν, ὁ δὲ οὐδὲν πλέον εἶχεν ἀνύειν, ὁ δ' ἔρως ἤκμαζεν, ἐπεχείρησε πράξει παραλογωτάτῃ. Ἐπιβουλεύει μὲν γὰρ τοὺς

Διὰ γὰρ τοῦ πάθους τὴν ὑπερβολὴν καὶ τὴν ἐκ τῆς ἐπιβολῆς ἐπακολουθοῦσαν αἰσχύνην, ἐξετράπη πρὸς διαλογισμοὺς παιδαριώδεις καὶ πολλῆς ἀφροσύνης μεστούς. Πρὸ ὀφθαλμῶν γὰρ λαμβάνων τὸν ἐσόμενον τῆς ἐρωμένης διαχωρισμὸν, τοῖς μὲν ἀπαιτοῦσι τὴν τιμὴν ἀνέλπιστον ἐπιβουλὴν συνεστήσατο (9). **

XXXI. ** ἐφρόνει· ὡς δὲ ἔνιοι, ὅτι κατὰ διαθήκην τῷ ἑτέρῳ υἱῷ τὰ πλείω κατέλιπε τῆς οὐσίας, τοῖς ὅλοις ἐκινδύνευσεν· ὁ γὰρ νεανίσκος τόλμῃ καὶ προπετείᾳ διαφέρων, περιθέμενος διάδημα καὶ βασιλέα Μακεδόνων ἑαυτὸν ἀναδείξας, παρεκάλει πολλοὺς ἀφίστασθαι Ῥωμαίων καὶ τὴν προγεγενημένην Μακεδόσιν πάτριον βασιλείαν ἀνακτᾶσθαι. Πολλῶν δὲ συντρεχόντων, ὡς ἁρπαγῆς ἐσομένης, ὁ δὲ Ἐξήκεστος ἀγωνιάσας ἐξέπεμψέ τινα τὸν διασαφήσοντα Γεντίῳ τῷ στρατηγῷ τὴν περὶ τὸν υἱὸν ἀπόνοιαν. Διεπέμψατο δὲ [καὶ] πρὸς Κότυν (1) τὸν βασιλέα Θρᾳκῶν, ἀξιῶν μεταπέμψασθαι τὸν νεανίσκον, καὶ πεῖσαι τῆς ἐπιβολῆς ἀποστῆναι. Ὁ δὲ ἔχων φιλίαν πρὸς Εὐφήνην μετεπέμψατο αὐτὸν, καὶ παρακατασχὼν ἡμέρας τινὰς παρέδωκε τῷ πατρί· καὶ ἀπελύθη τῶν διαβολῶν.

XXXII. Ὅτι ὁ Σερτώριος θεωρῶν ἀκατάσχετον οὖσαν τὴν ὁρμὴν τῶν ἐγχωρίων (1), πικρῶς (2) προσεφέρετο τοῖς συμμάχοις, καὶ τοὺς μὲν καταιτιωμένους ἀπέκτεινεν, τοὺς δὲ εἰς φυλακὴν παρεδίδου, τῶν δὲ εὐπορωτάτων ἐδήμευε τὰς οὐσίας, πολὺν δὲ ἄργυρον καὶ χρυσὸν ἀθροίσας, οὐκ εἰς τὸ κοινὸν τοῦ πολέμου ταμιεῖον κατετίθετο, ἀλλ' ἰδίᾳ ἐθησαύριζεν· οὔτε τοῖς στρατιώταις ἐχορήγει τὰς μισθοφορίας, οὔτε τοῖς ἡγεμόσι μετεδίδου τούτων, οὔτε τὰς κεφαλικὰς κρίσεις μετὰ συνεδρίου καὶ συμβούλων (3) ἐποιεῖτο, διακούων δὲ ἰδίᾳ καὶ μονοκριτὴν ἑαυτὸν ἀποδείξας ἐποιεῖτο τὰς ἀποφάσεις· εἴς τε τὰ σύνδειπνα τοὺς ἡγεμόνας οὐκ ἠξίου παραλαμβάνειν, οὐδὲ φιλανθρωπίας οὐδεμιᾶς μετεδίδου τοῖς φίλοις, καθόλου δὲ διὰ τὴν ἐπὶ τὸ χεῖρον ἐπίδοσιν τῆς περὶ αὐτὸν ἐξουσίας ἀποθηριωθεὶς τυραννικῶς ἅπασιν προσεφέρετο. Καὶ ἐμισήθη μὲν ὑπὸ τοῦ πλήθους, ἐπεβουλεύθη δὲ ὑπὸ τῶν φίλων. Ἡ δὲ ἀναίρεσις αὐτοῦ συνετελέσθη τοιῷδέ τινι τρόπῳ. Τῶν ἡγεμόνων οἱ μέγιστον ἔχοντες ἀξίωμα, Περπέννας καὶ Ταρκύνιος, συμφρονήσαντες ἀλλήλοις, ἔγνωσαν ὡς τύραννον ὄντα τὸν Σερτώριον ἀνελεῖν. Προστάτης δὲ τῆς ἐπιβουλῆς αἱρεθεὶς ὁ Περπέννας ἐκάλεσεν ἐπὶ

sus est. Nam affectus exsuperantia pudorque inceptum subsecutus in cogitationes avertit pueriles multæque plenas desipientiæ. Etenim ante oculos sibi ponens instantem puellæ amatæ discessum, insperatas pretium exigentibus struxit insidias.**

XXXI. ** cogitabat; sicuti vero nonnulli referunt, propterea quod alteri filio majorem bonorum partem testamento legaverat, totis periclitatus est. Nam juvenis, qui insignis erat audaciæ et temeritatis, assumpto diademate regem se Macedoniæ declarans multitudinem exhortabatur, ut a Romanis deficerent, pristinumque regnum majorum suorum recuperare tentarent. Multisque spe rapinæ confluentibus, trepidans Execestus ad Gentium (*Genucium?*) prætorem legavit, qui de filii ausis insanis certiorem faceret. Porro ad Cotyn Thracum regem misit petens ut juvenem ad se arcesseret, eique persuaderet ut a cœptis desisteret. Cotys igitur, amicitia Euphenæ junctus, arcessivit puerum, et postquam per dies aliquot in domo sua detinuerat, patri tradidit, qui ita criminatione exemptus est.

XXXII. Animadvertens Sertorius impetum indigenarum non posse cohiberi, multa cum severitate socios tractare cœpit. Criminibus obnoxios alios interficiebat, alios dabat in custodiam; ditissimorum bona publicabat; collecti argenti et auri vim magnam non in publicum belli ærarium deponebat, sed suos in usus convertebat; nec militibus erogabat stipendia, neque ducibus opum copiam faciebat; in causas capitales non in synedrio cum senatoribus, sed privatim inquirebat, et solus unus sedens judex dicebat sententiam; porro ad convivia duces adhibere dedignabatur, neque ullum humanitatis officium amicis præstabat; ac omnino efferatus eo quod in pejus vergere res ejus cœperant, tyranni in modum erga omnes se gerebat. Quare apud multitudinem in odio erat, ab amicis vero insidiis petebatur. Cædes ejus confecta est hunc in modum. Perpennas et Tarquinius, qui plurimum inter duces poterant, conspirantes Sertorium utpote tyrannum interficiendum esse decreverunt. Exsequendis consiliis præfectus Perpennas

ἀπαιτοῦντας, ἑαυτῷ δὲ μοναρχικὴν ἐξουσίαν περιέθηκε. Sequentia apud ipsum Photium legas. — 8. παραλογωτάτῃ] sic Photius; παραλόγῳ ταύτῃ cod.

XXXI. *Fol.* 185, 24 *v.* — 186, 5 *r.* Fragmentum initio mutilum in codice ab antecedentibus nullo modo separatur, quasi ad eandem pertineret historiam. Folium excidisse videtur. De re mihi non constat. In simili argumento versari videtur. — 1. Κότυν] Κότην cod.

XXXII. *Fol.* 186, 5 — 26 *v.* De cæde Sertorii (72 a. C.) vide Plutarch. Sertor. extr. et Appian. B. Civ. I, 113. Insere hunc locum sicuti sequens fragmentum post XXXVII, 22. — 1. τῆς ὁρμῆς τῶν ἐγχωρίων] sc. πρὸς ἀπόστασιν. Nimirum collegæ Sertorii seditiosis Perpennæ sermonibus excitati, φανερῶς μὲν οὐκ ἀφίσταντο, δεδοικότες αὐτοῦ τὴν δύναμιν, κρύφα δὲ τάς τε πράξεις ἐλυμαίνοντο καὶ τοὺς βαρβάρους ἐκάκουν κολάζοντες πικρῶς καὶ δασμολογοῦντες, ὡς Σερτωρίου κελεύοντος. Ἐξ ὧν ἀποστάσεις ἐγίνοντο καὶ ταραχαὶ περὶ τὰς πόλεις. Οἱ δὲ πεμπόμενοι ταῦτα θεραπεύειν καὶ ἐπιπραΰνειν ἐπανήρχοντο πλείονας ἐξειργασμένοι πολέμους καὶ τὰς ὑπαρχούσας ηὐξηκότες ἀπειθείας, ὥστε τὸν Σερτώριον ἐκ τῆς προτέρας ἐπιεικείας καὶ πρᾳότητος μεταβαλόντα περὶ τοὺς ἐν Ὄσκῃ τρεφομένους παρανομῆσαι παῖδας τῶν Ἰβήρων, τοὺς μὲν ἀνελόντα, τοὺς δὲ ἀποδόμενον. Hæc sunt quæ Plutarchus (l. l. c. 25, 3) de mutata Sertorii mente affert. Uberior et Diodoro, uti solet, similior Appianus Bell. Civ. I, 113, p. 336 ed. Didot., ubi ipse tu videas. — 2 πικρῶς] πικρὸς cod — 3 συμβούλων] συμβόλων cod.

δεῖπνον τὸν Σερτώριον, καὶ τοὺς συνίστορας συμπαρέλαβεν ἐπὶ τὴν ἑστίασιν. Καταντήσαντος δὲ τοῦ Σερτωρίου, καὶ τῶν κοινοπραγούντων συνεπιθεμένων, ὁ Σερτώριος ἀνακλιθεὶς ἀναμέσον Ταρκυνίου καὶ Ἀντωνίου, ὑπὸ τούτων ἐσφάγη.

est. Is igitur ad convivium vocat Sertorium, simulque conscios ad comessationem adhibet. Ubi advenerat Sertorius, conjurati simul adorti eum inter Tarquinium et Antonium decumbentem confodiunt.

XXXIII. Ὅτι ὁ Μιθριδάτης ἐξ ἐπιβουλῆς παρ' ὀλίγον ἐκινδύνευσεν ὑποχείριος γενέσθαι τοῖς Κυζικηνοῖς. Συναγωνιζόμενος γάρ τις ἐν ταῖς μεταλλείαις Ῥωμαῖος ἑκατοντάρχης ἐπεβάλετο τοῦτο τελέσαι. Διὰ γὰρ τὰς παρ' ἀμφοτέροις μεταλλείας συνεχῶς γινομένων συμπλοκῶν καὶ συλλόγων, εἰς γνῶσιν ἦλθε τοῖς τοῦ βασιλέως διὰ τὰς συνεχεῖς πρὸς αὐτοὺς ὁμιλίας. Μονωθεὶς δέ ποτε κατὰ τὴν ἐν τοῖς ὀρύγμασι φυλακὴν καὶ ὑπό τινος τῶν ἐπιστατούντων ἐν τοῖς ἔργοις καταπειραθεὶς περὶ προδοσίας, προσεδέξατο τοὺς λόγους προσποιητικῶς. Ἀπενεχθέντος δὲ τοῦ πράγματος πρὸς τὸν βασιλέα, ἐκεῖνος μὲν ἐπιθυμῶν κυριεῦσαι τῆς πόλεως, δωρεὰς ἐπηγγείλατο, καὶ συνέθετο καιρόν, ἐν ᾧ τὸν σύλλογον ἔδει γενέσθαι. Τοῦ δὲ Ῥωμαίου πίστεις τῶν ἐπαγγελιῶν ζητοῦντος, ἀπέλυσεν ὁ βασιλεὺς τοὺς ὑπὲρ αὐτοῦ συνθησομένους. Ὁ δὲ οὐκ ἔφησεν (1) ἄλλως πιστεύσειν, ἐὰν μὴ παρὰ τοῦ βασιλέως λάβῃ τοὺς ὅρκους. Ὁ δὲ οὐχ ἡγεῖτο βασιλικῆς ἀξίας οἰκεῖον εἶναι συγκαταβαίνειν εἰς τὰ ὀρύγματα. Ἐπεὶ δὲ ὁ προδότης οὐκ ἔφησεν ἄλλως ὑπακούεσθαι, ἡ δὲ ἐπίθεσις τοῦ κυριεῦσαι τῆς πόλεως συνεῖχεν, ἠναγκάσθη συγκαταθέσθαι τοῖς ἀξιουμένοις ὁ Μιθριδάτης. Καὶ συνέβη τὸν βασιλέα γενέσθαι ὑποχείριον, εἰ μὴ τῶν φίλων τις εὐστόχως καταμαντευσάμενος τὴν ἐπιβουλήν, κατεσκεύασε σύμμετρον μηχανὴν δυναμένην ὀξέως ἀνοίγεσθαί τε καὶ κλείεσθαι· καὶ ταύτης εἰς τὸ ὄρυγμα τεθείσης καὶ τοῦ Μιθριδάτου μετὰ τῶν φίλων συνεμβάντων, ὁ ἑκατοντάρχης (2) τοὺς μέλλοντας μεθ' ἑαυτοῦ τῷ βασιλεῖ τὰς χεῖρας προσφέρειν (3) [εἰς τὰς χεῖρας] τὸ ξίφος σπασάμενος ὥρμησεν ἐπὶ τὸν βασιλέα· ὁ δὲ φθάσας συνέκλεισε τὴν θύραν, καὶ τὸν κίνδυνον ἐξέφυγεν.

XXXIII. Parum abfuit quin Mithridates insidiis captus in Cyzicenorum venisset potestatem. Rem aggressus est centurio Romanus, qui in cuniculis agendis operam Cyzicenis præstabat. Scilicet quum ab utrisque cuniculi agerentur et continui essent congressus et colloquia, factum est ut Romanus ille notus fieret militibus Mithridatis. Et quondam dum solus ad custodiam cuniculorum relictus est, a Mithridatico quodam operibus præfecto de proditione compellatur. Romanus admittere se proposita simulat. Re ad regem delata, is potiundæ urbis cupidissimus dona pollicetur, tempusque constituit, quo ad colloquium conveniant, et Romano fidem promissorum postulante, misit qui ipsius loco paciscerentur. At centurio haud se fidem habiturum esse dicebat nisi ab ipso rege jusjurandum accepisset. Rex vero æstimabat haud esse dignitatis regiæ in cuniculos descendere; attamen quoniam proditor alias obtemperare nolebat et capiendæ urbis stimulabat desiderium, coactus Mithridates est, ut postulatis adstipularetur. Nec jam dubium erat quin in manus hostibus rex venisset, nisi ex amicis quidam insidias subesse feliciter divinasset. Is igitur justæ magnitudinis machinam construxit, quæ quam celerrime et aperiri et claudi poterat. Hac in cuniculo collocata, in eamque ingresso cum amicis Mithridate, centurio adduxit qui una secum manum regi injecturi erant, strictoque gladio in Mithridatem irruit. At antevertens ille claudit portam periculumque effugit.

XXXIV. Ὅτι τῶν Ἀντιοχέων τινὲς καταφρονήσαντες Ἀντιόχου τοῦ βασιλέως διὰ τὴν ἧτταν, ἀνέσειον τὰ πλήθη καὶ συνεβούλευον ἐκ τῆς πόλεως μεταστήσασθαι. Γενομένης δὲ στάσεως μεγάλης καὶ τοῦ βασιλέως ἐπικρατήσαντος, οἱ αἴτιοι τῆς στάσεως φοβηθέντες ἔφυγον ἐκ τῆς Συρίας, καὶ καταντήσαντες εἰς Κιλικίαν ἐπεβάλοντο κατάγειν Φίλιππον, ὃς ἦν υἱὸς Φιλίππου τοῦ γεγονότος ἐξ Ἀντιόχου τοῦ Γρυποῦ. Ὑπακούσαντος δὲ τοῦ Φιλίππου καὶ καταντήσαντος πρὸς Ἄζιζον τὸν Ἄραβα, ἀσμένως τοῦτον προσδεξάμενος Ἄζιζος, καὶ περιθεὶς διάδημα ἐπὶ τὴν βασιλείαν κατήγαγεν. — Ὅτι (1) τὰς ὅλας ἐλπίδας ἔχων ἐν τῇ τοῦ Σαμψιγεράμου

XXXIV. Antiochenses quidam Antiochum regem propter cladem acceptam contemnentes, multitudinem excitabant atque urbe regem pellere moliebantur. Verum quum ingentem, quam exarserat, seditionem rex compescuisset, auctores ejus perterriti e Syria aufugerunt, et in Ciliciam profecti Philippum, qui Philippi Antiocho Grypo nati filius erat, in regnum reducere voluerunt. Obtemperans Philippus ad Azizum Arabem sese contulit, qui haud invitus eum excepit, diademate ornavit et in regnum reducere instituit. Antiochus autem omnes spes in Sampsigerami societate re-

XXXIII. *Fol.* 186, 27 *r.* — 186, 22 *vso.* De Mithridate Cyzicum obsidente (an. 73) vide Appian. Bell. Mith. c. 72 sqq.; Memnon. Hist. Heracl. cap. 40. De re nostro fr. narrata aliunde non constat. Ceterum ex Appiano c. 75 et 76 discimus Mithridatem cuniculis mœnia urbis suffodisse, Cyzicenos vero suffodisse aggere hostiles: Μιθριδάτης ἐπὶ τὸ Δίνδυμον ὄρος ὑπερκείμενον ἀνήει, καὶ χῶμα ἀπ' αὐτοῦ ἐς τὴν πόλιν ἔχου, πύργους τε ἐφίστη, καὶ ὑπονόμοις τὸ τεῖχος ἀνεκρήμνη. Et cap. 76: Διεκαρτέρει δ' ὅμως Μιθριδάτης ἐλπίζων ἔτι τὴν Κύζικον αἱρήσειν τοῖς χώμασι τοῖς ἀπὸ τοῦ Δινδύμου. Ὡς δὲ καὶ ταῦθ' ὑπεσύροντο οἱ Κυζικηνοί, δρασμὸν ὁ Μ. ἐβούλευε. — 1. ἔφυσεν codex h. l. et mox iterum. — 2. ἑκατόνταρχος h. l. cod. — 3. εἰς τὰς χεῖρας ex antecc. male repetita. Fortasse excidit participium, εἰσαγαγὼν [εἰσκαθίσας conj. Dübnerus; egregie].

XXXIV. *Fol.* 186, 22 *r.* — 187, 10 *r.* — 1. Ὅτι τὰς ὅλας] vox Ὅτι novi excerpti, in eadem re versantis, initium indicare

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

SAVE $3,999,994

Did you know we sell paperback books too?

To buy our entire catalog in paperback would cost over $4,000,000

Access it all now for $8.99/month

*Fair usage policy applies

Continue

χούσαντος, ὑποκριθεὶς ὡς φίλον συνέλαβε τὸν βασιλέα· καὶ τότε μὲν δήσας παρεφύλαττεν, ὕστερον δὲ ἀνεῖλεν. Ὁμοίως δὲ καὶ Ἄζιζος κατὰ τὰς γενομένας ἐπὶ μερισμῷ τῆς Συριακῆς βασιλείας συνθέσεις, ἐπεβάλετο δολοφονῆσαι τὸν Φίλιππον· ὁ δὲ προαισθόμενος τὴν ἐπιβουλὴν, ἔφυγεν εἰς τὴν Ἀντιόχειαν.

XXXV. Ὅτι κατὰ τὴν Ῥώμην Κατιλίνας τις κατάχρεως (1) καὶ Λέντλος, ὁ ἐπικαλούμενος Σούρας, ἀθροίσαντες ὄχλον (2) ἀπόστασιν ἐμελέτησαν κατὰ τῆς συγκλήτου τοιῷδέ τινι τρόπῳ. Μελλούσης τινὸς ἑορτῆς εἶναι, καθ' ἣν ἔθος ἦν τοὺς πατρωνευομένους ὑπὸ τῶν ἐν ὑπεροχαῖς ὄντων ξένια πέμπειν, καὶ διὰ ταύτην αἰτίαν δι' ὅλης τῆς νυκτὸς ἀνεῷχθαι τὰς οἰκίας συνέβαινε, συνέθεντο οὖν κατὰ τοῦτον τὸν καιρὸν εἰσπέμπειν εἰς τὰς τῶν ἐπιβουλευομένων οἰκίας τοὺς προσάξοντας αὐτοῖς τὰς χεῖρας· οὓς ἔδει τὴν μὲν φαντασίαν χάριν τῆς τῶν ξενίων εἰσφορᾶς ἀνυπόπτως εἰσελθόντας, καὶ ἀδήλως παρεζωσμένους ξίφη, καὶ κατ' ὀλίγους ἐφ' ἑκάστῃ οἰκίᾳ μεμερισμένους, ὑφ' ἕνα καὶ τὸν αὐτὸν καιρὸν ἅπασαν σχεδὸν τὴν σύγκλητον ἀνελεῖν. Τοῦτον δὲ τὸν τρόπον διεσκευασμένης τῆς ἐπιβουλῆς, παραδόξως διεσώθησαν. Ὄντων γὰρ πλειόνων ἢ τεσσαρακοσίων τῶν ἐπὶ τὴν σφαγὴν τεταγμένων, ἕνα τούτων διακείμενον ἐρωτικῶς πρός τινα παιδίσκην καὶ ὑπὸ ταύτης παραθεωρούμενον πλεονάκις λέγειν [φασὶν ὅτι] (3) μετ' ὀλίγας ἡμέρας ἔσται τοῦ πνεύματος αὐτῆς κύριος. Τῆς δὲ θαυμαζούσης τὸ ῥηθὲν καὶ μὴ δυναμένης νοῆσαι τὴν αἰτίαν τῆς ἁμίλλης, τὸν μὲν νεανίσκον μένειν ἐπὶ τῆς ἀνατάσεως (4), τὴν δὲ κατὰ τὴν συμπεριφορὰν καὶ τὴν μετ' αὐτοῦ μέθην, ὑποκριναμένην κεχαρισμένας ὁμιλίας (5) ἀξιοῦν δηλῶσαι, τίνα ποτὲ νοῦν ἔχει τὸ ῥηθέν· τὸν δὲ διὰ τὸν ἔρωτα βουλόμενον ταύτῃ χαρίσασθαι, πᾶσαν τὴν ἀλήθειαν μηνῦσαι. Τὴν δὲ προσποιηθεῖσαν μετ' εὐνοίας καὶ χαρᾶς δεδέχθαι τὸν λόγον, σιωπῆσαι· τῇ δὲ ὑστεραίᾳ πρὸς τὴν τοῦ ὑπάτου Κικέρωνος γυναῖκα καταντήσασαν, καὶ κατ' ἰδίαν διαλεχθεῖσαν περὶ τούτων, ἀπαγγεῖλαι τοὺς ῥηθέντας λόγους ὑπὸ τοῦ νεανίσκου. Καὶ τούτῳ τῷ τρόπῳ φανερὰν γενέσθαι τὴν τούτων συνωμοσίαν. Τὸν δὲ τὰ μὲν ἀνατάσει καὶ φόβῳ, τὰ δὲ παρακλήσει φιλανθρώπῳ χρησάμενον μαθεῖν ἀκριβῶς παρ' αὐτῶν τὴν ὅλην ἐπιβουλήν.

ΤΕΛΟΣ ΤΗΣ ΙΣΤΟΡΙΑΣ ΔΙΟΔΩΡΟΥ ΣΙΚΕΛΙΩΤΟΥ.

simulabat, eum comprehendit, et tunc quidem in custodiam dedit, deinde vero interfecit. Similiter etiam Azizus ex pactis quæ de dividendo regno Syriæ fecerant, Philippum clam occidere voluit. At Philippus insidias odoratus fuga evasit Antiochiam.

XXXV. Romæ Catilina ære alieno pressus et Lentulus cognomento Sura plebeiorum turbam congregantes contra senatum movere seditionem moliebantur hunc in modum. Instabat dies festus, quo clientes dona mittere patronis solebant; et propterea per totam noctem domus apertæ erant. Illa igitur opportunitate utendum esse statuerunt, ut in ædes eorum, quibus insidias struebant, percussores immitterent, qui sub specie ferendorum donorum citra suspicionem ingressi et latenter gladiis cincti atque ita distributi, ut pauci singulis domibus assignarentur, uno eodemque temporis momento totum prope senatum trucidarent. Insidiarum ratione sic composita, præter opinionem senatores servati sunt. Etenim quum supra quadringentos cædi peragendæ præfecti essent, accidit ut unus eorum a puella quam deperiebat despectus iterum ac sæpius ei diceret: « Paucis diebus post anima tua in mea erit potestate. » Demirante illa dictum ac causam certaminis frustra quærente, juvenem in minace oratione sua perseverasse, puellam vero inter amplexus et amoris ebrietatem simulate gratis blandimentis usam rogasse, ut sensum dicti illius sibi exponeret. Illum cedentem amori et amicæ gratificaturum totam rem, quæ esset, aperuisse. Puellam simulantem gratum sibi et gaudio sermonem esse, tunc quidem tacuisse, postridie vero uxorem Ciceronis consulis convenisse ac solam cum sola collocutam dixisse ei quales juvenis ille sermones protulisset. Atque sic conjurationem esse patefactam. Consulem vero partim minis et metu, partim comi exhortatione conjuratos adduxisse, ut de omni insidiarum ratione certiorem facerent.

FINIS HISTORIÆ DIODORI SICULI.

---

λαρχος. At nomen Ἄζιζος habes XX, 7,8. Alterius Arabis nomen apud Josephum XVIII, 5,4 et XIX, 8, 1 est Σαμψιγέραμος, quod reposui n. l., ubi codex: Σαμψινέραμος. — Insere fragmentum ante lib. XL, c. 2.

XXXV. *Fol.* 187, 10 *r.* — 187, 8 *vso.* — De re constat abunde. Locum n. pone ante lib. XL, c. 5, ubi item de Catilina sermo est. — 1. κατάχρεως] κατάχρεων cod. — 2. ὄχλον] ὄχλων cod. — 3. φασὶν ὅτι] supplevi — 4. ἀνατάσεως] ἀναστάσεως cod. Mox pro αὐτοῦ malim αὐτῆς. — 5. κεχαρ. ὁμιλίας]. Κεχαρισμέναις ὁμιλίαις codex.

# ΕΚ ΤΗΣ ΙΣΤΟΡΙΑΣ

# ΠΟΛΥΒΙΟΥ ΜΕΓΑΛΟΠΟΛΙΤΟΥ.

## [ΕΚ ΒΙΒΛ. ΙΕ'.]

* * * Μετὰ δὲ τρεῖς ἢ τέτταρας [ἡμέρας] ἐν τῷ μεγίστῳ περιστύλῳ τῆς αὐλῆς οἰκοδομήσαντες βῆμα συνεκάλεσαν τοὺς ὑπασπιστὰς καὶ τὴν θεραπείαν, ἅμα δὲ τούτοις τοὺς πεζῶν καὶ τοὺς ἱππέων ἡγεμόνας. Ἀθροισθέντων δὲ τούτων, ἀναβὰς Ἀγαθοκλῆς καὶ Σωσίβιος ἐπὶ τὸ βῆμα πρῶτον μὲν τὸν τοῦ βασιλέως καὶ τὸν τῆς βασιλίσσης θάνατον ἀνθωμολογήσαντο, καὶ τὸ πένθος ἀνέφηναν τοῖς πολλοῖς κατὰ τὸ παρ' αὐτῶν ἔθος· μετὰ δὲ ταῦτα διάδημα τῷ παιδὶ περιθέντες ἀνέδειξαν βασιλέα, καὶ διαθήκην τινὰ παρανέγνωσαν πεπλασμένην, ἐν ᾗ γεγραμμένον ἦν, ὅτι καταλείπει τοῦ παιδὸς ἐπιτρόπους ὁ βασιλεὺς Ἀγαθοκλέα καὶ Σωσίβιον· καὶ παρεκάλουν τοὺς ἡγεμόνας εὐνοεῖν καὶ διαφυλάττειν τῷ παιδὶ τὴν ἀρχήν. Ἐπὶ δὲ τούτοις δύω κάλπιδας ἀργυρᾶς εἰσήνεγκαν, ὡς τῆς μὲν μιᾶς ἐχούσης τὰ τοῦ βασιλέως ὀστᾶ, τῆς δ' ἑτέρας τὰ τῆς Ἀρσινόης. Εἶχε δὲ ἡ μὲν μία κατ' ἀλήθειαν τὰ τοῦ βασιλέως, ἡ δ' ἑτέρα πλήρης ἦν ἀρωμάτων. Ταῦτα δὲ ποιήσαντες εὐθέως ἐπετέλουν τὴν ἐκφοράν. Ἐν ᾧ καιρῷ πᾶσι τὰ κατὰ τὴν Ἀρσινόην συνέβη γενέσθαι δῆλα. Τοῦ γὰρ θανάτου φωτισθέντος, ὁ τρόπος ἐπεζητεῖτο τῆς ἀπωλείας· οὐκ οὔσης δὲ προφάσεως ἄλλης οὐδεμιᾶς, τῆς ἀληθινῆς φήμης προπεπτωκυίας, ἀκμὴν δ' ἀμφισβητουμένης, τὸ κατ' ἀλήθειαν γεγονὸς ἐν ταῖς ἑκάστων γνώμαις ἐπεσφραγίσθη· διὸ καὶ συνέβη μεγάλην γενέσθαι τὴν σύγχυσιν τῶν ὄχλων. Τοῦ μὲν γὰρ βασιλέως οὐδεὶς οὐδένα λόγον ἐποιεῖτο, περὶ δὲ τῆς Ἀρσινόης ἀνανεούμενοί τινες μὲν τὴν ὀρφανίαν αὐτῆς, ἔνιοι δὲ τὴν ἐξ ἀρχῆς ἐν

## [E LIBRO XV.]

*** Tribus vel quattuor diebus post exstructo in maximo aulæ peristylio suggestu, convocarunt scutatos et palatii custodes una cum ducibus peditum equitumque. Qui postquam convenerant, Agathocles et Sosibius conscenso suggestu primum obitum regis et reginæ confessi publice luctum ediderunt, uti mos est Ægyptiis; deinde diadema puero imponentes regem declararunt, et fictum recitarunt testamentum, in quo scriptum erat, regem tutores pueri relinquere Agathoclem et Sosibium; denique duces exhortati sunt ut benevoli puero regnum tutarentur. Post hæc duas urnas argenteas attulerunt, quarum alteram regis ossa, alteram Arsinoes continere dicebant. Et sane altera revera regis ossa continebat, altera autem plena erat aromatum. Quo facto statim funera celebranda instituerunt. Tum vero omnibus quæ Arsinoæ acciderint, patefacta sunt. Nam morte ejus in lucem prolata, de ratione qua perierit inquirere cœperunt. Nec ullo prætextu suppetente, famaque veri prolapsa, etsi controversa adhuc, vera rei gestæ ratio in omnium animis consignata est. Hinc summa apud multitudinem conturbatio. Nam regem quidem nemo quidquam curabat, Arsinoes vero recordantes alii orbitatem, alii quas per vitam passa sit injurias et contumelias, et præter hæc vitæ

*Codicis fol.* 188, 15 *v.* — 190, 7 *v.* Fragmentum hoc, justo initio ac fine carens, insertum legitur primo fragmento Dionysii Halicarnassensis, in quo de Spurio Mælio sermo est. Polybio vindicandum esse dubitari nequit. Nam particulam ejus in editis Polybii (XV, 25, 3) legere est. In Dionysii autem Excerpta irrepsisse videtur, quod codex, ex quo Noster sua descripsit, etiam Polybianas Eclogas continebat, quarum unum folium culpa ejus, qui volumen conglutinavit, in Dionysii fragmenta est transpositum. Simili modo in codice Turensi, qui Eclogas De vitiis et virtutibus exhibet, ordo foliorum perturbatus est (V. E. Gros. Dion. Cass. Introduct. tom. I, p. LVII sqq.). — Versatur narratio in exponendis turbis, quæ necem Arsinoes et Ptolemæi Philopatoris sub initio regni Ptolemæi Epiphanis subsecutæ sunt. De Philopatoris annis postremis Polybius dixerat libro XIV, cujus partem jam Constantiniani excerptores desiderasse videntur. Nam in cod. Turensi ad Polyb. XIV, 12 ed. Didot. notantur hæc : Ζήτει· ἐνέλειπε γὰρ φύλλα μη', ἐν οἷς περὶ τοῦ Πτολεμαίου καὶ Ἀρσινόης. Nostra e libro XV petita sunt jungendaque iis, quæ ex Exc. Ant. leguntur XV, c. 26—36.

1. Supplevi ἡμέρας. Intelligendi videntur tres vel quattuor dies post mortem Philopatoris. Justinus XXX, 2 : *Agathocles regis lateri junctus civitatem regebat; tribunatus, præfecturas et ducatus mulieres ordinabant; nec quisquam in regno suo minus quam ipse poterat; quum interim relicto quinquenni ex Eurydice* (deb. : *Arsinoe*) *filio moritur. Sed mors ejus, dum pecuniam regiam mulieres rapiunt, et imperium, inita cum perditissimis societate, occupare conantur, diu occultata fuit.* Ptolemæus Epiphanes παρέλαβεν τὴν βασιλείαν παρὰ τοῦ πατρὸς die XVII mensis Mechir (d. XVII Mart.) an. 204 a. C. Eodem igitur die pater obierat vel obiisse dicebatur. V. Letronn. *Inscript. gr. de l'Ég.* tom. I, p. 262 sq.; tom. II, p. 537 sqq. De Agathocle, Œnanthes f., fratre Agathocleæ, Philopatoris amicæ, v. Polyb. XIV, 11; Justin. l. l. De Sosibio, viro vafro et nequissimo, multus est Polybius libro quinto passim. Interfectus



Digitized by G

τῷ ζῆν ὕβριν ἣν (2) ὑπέμεινε καὶ τὴν αἰκίαν, σὺν δὲ τούτοις τὸ περὶ τὴν τελευτὴν ἀτύχημα, εἰς τοσαύτην παράστασιν ἐνέπιπτον καὶ δυσθυμίαν, ὥστε πλήρη γενέσθαι τὴν πόλιν στεναγμοῦ, δακρύων, οἰμωγῆς ἀκαταπαύστου. Ταῦτα δ' ἦν τοῖς ὀρθῶς λογιζομένοις οὐχ οὕτω τῆς πρὸς Ἀρσινόην εὐνοίας τεκμήρια, πολὺ δὲ μᾶλλον τοῦ πρὸς τοὺς περὶ Ἀγαθοκλέα μίσους. Ὁ δὲ προειρημένος, ἐπειδὴ τὰς ὑδρείας εἰς τοὺς βασιλικοὺς οἴκους ἔθηκε, παραγγείλας ἀποθέσθαι τὰ φαιὰ (3), πρῶτον μὲν διμήνου τὰς δυνάμεις ὠψωνίασεν, πεπεισμένος τὸ παρὰ τοῖς πολλοῖς (4) μῖσος ἀμβλύνειν διὰ τῆς πρὸς τὸ λυσιτελὲς ὁρμῆς αὐτῶν· εἶτα ἐνεξώρκισε τὸν ὅρκον, ὃν ἦσαν ὀμνύναι εἰθισμένοι κατὰ τὰς (5) ἀναδείξεις τῶν βασιλέων· ἐξαπέστειλε δὲ καὶ Φιλάμμωνα, τὸν ἐπιστάντα τῷ τῆς Ἀρσινόης φόνῳ, ποιήσας αὐτὸν Λιβυάρχην τῶν κατὰ Κυρήνην τόπων· τὸ δὲ παιδίον ἐνεχείρισεν τοῖς περὶ τὴν Οἰνάνθην καὶ Ἀγαθόκλειαν. Μετὰ δὲ ταῦτα Πέλοπα μὲν ἐξέπεμψε τὸν Πέλοπος εἰς τὴν Ἀσίαν πρὸς Ἀντίοχον τὸν βασιλέα παρακαλέσοντα συντηρεῖν τὴν φιλίαν καὶ μὴ παραβαίνειν τὰς πρὸς τὴν τοῦ παιδὸς πατέρα συνθήκας· Πτολεμαῖον (6) δὲ τὸν Σωσιβίου πρὸς Φίλιππον, τά τε περὶ τῆς ἐπιγαμίας συνθησόμενον καὶ παρακαλέσοντα βοηθεῖν, ἐὰν ὁλοσχερέστερον αὐτοὺς Ἀντίοχος ἐπιβάληται παρασπονδεῖν. Προεχειρίσατο δὲ καὶ Πτολεμαῖον τὸν Ἀγησάρχου πρεσβευτὴν πρὸς Ῥωμαίους, οὐχ ὡς ἐπισπεύσοντα τὴν πρεσβείαν, ἀλλ' ὡς ἂν ἅψηται τῆς Ἑλλάδος καὶ συμμίξῃ τοῖς ἐκεῖ φίλοις καὶ συγγενέσιν, αὐτοῦ καταμενοῦντα· προέκειτο γὰρ αὐτῷ πάντας τοὺς ἐπιφανεῖς ἄνδρας ἐκποδὼν ποιῆσαι ἐξ ἀπιστίας. [Ἐξαπέστειλε] (7) δὲ καὶ Σκόπαν τὸν Αἰτωλὸν ἐπὶ ξενολογίαν εἰς τὴν Ἑλλάδα, πλῆθος χρυσίου συνθεὶς εἰς τὰ προδόματα. Δύω γὰρ ἔσχε προθέσεις ὑπὲρ ταύτης τῆς ἐπιβολῆς· μίαν μὲν ἀποχρῆσθαι τοῖς ξενολογηθεῖσιν εἰς τὸν πρὸς Ἀντίοχον πόλεμον, ἄλλην δὲ τοὺς ἀρχαίους καὶ προϋπάρχοντάς οἱ (8) ξένους ἐπὶ τὰ κατὰ τὴν χώραν φρούρια καὶ τὰς κατοικίας ἀποστεῖλαι, τοῖς δὲ παραγενομένοις ἀναπληρῶσαι καὶ καινοποιῆσαι τὴν θεραπείαν καὶ τὰ περὶ τὴν αὐλὴν φυλακεῖα, παραπλησίως (9) δὲ καὶ τὰ κατὰ τὴν ἄλλην πόλιν, νομίζων τοὺς δι' αὐτοῦ ξενολογηθέντας καὶ μισθοδοτουμένους, τῶν μὲν προγεγονότων μηδενὶ συμπαθήσοντας διὰ τὸ μηδὲν γινώσκειν, ἐν αὐτῷ δὲ τὰς ἐλπίδας ἔχοντας, καὶ

exitum infelicem, in tantum inciderunt mœrorem et tristitiam, ut suspiriis, lacrimis, lamentatione urbs repleretur. Quæ quidem recte putantibus non tantum benevolentiæ erga Arsinoen signa erant, sed multo magis Agathoclis odium testabantur. Ceterum Agathocles, postquam urnas in sepulcra regia deposuerat, luctum deponi jubens, primum quidem bimestre stipendium copiis erogavit, persuasus sic odium multitudinis obtundi, quod commodis suis consulere properet; deinde jusjurandum prævit, quod jurare in regis inauguratione solebant. Philammonem vero, qui cædem Arsinoes peregerat, ablegavit in Libyæ regionem Cyrenaicam, cujus præfectum constituit; puerum regem Œnanthæ et Agathocleæ tradidit; post hæc Pelopem Pelopis filium in Asiam misit ad Antiochum, quem exhortaretur, ut amicitiam servaret neque pacta transgrederetur cum patre pueri inita. Ptolemæum Sosibii filium ad Philippum legavit, ut de affinitate contrahenda transigeret et de ferendo auxilio, si forte majori conatu Antiochus violato fœdere ipsos aggressurus foret. Porro Ptolemæum Agesarchi filium ad legationem Romam mittendam designavit, non quod eum legati munus prompte exsecuturum esse, sed quod in Græciam appulsum, ubi cognatos suos et amicos convenerit, mansurum apud eos fore putabat. Scilicet hoc Agathocles agebat, ut insignes viros omnes amoveret; diffidebat enim. Denique Scopam Ætolum in Græciam ad conscribendos mercenarios misit magna vi auri ad mantissas solvendas instructum. Qua in re duplex erat ei consilium: nam primum collectis copiis ad bellum cum Antiocho gerendum uti volebat, deinde vero mercenarios veteres, quos hucusque usurpaverat, in castella et colonias Ægypti amandare, recens conscriptis autem explere et renovare tum palatii custodes tum reliqua Alexandriæ urbis præsidia moliebatur; existimans milites ab ipso conscriptos et stipendiatos, quos antea facta, utpote ignota ipsis, nullo modo affecerint, et qui in ipso spes repositas habeant,

demum ab Agathocle (Polyb. XV, 25, 1). — 2. ὕβριν ἣν] ἣν ex margine codicis intuli. — 3. τὰ φαιὰ] ταχεῖα codex. — 4. τοῖς πολλοῖς μῖσος] Inter πολλοῖς et μῖσος codex habet vocem expunctam δυνάμεις. Mox novum vocabulum occurrit: ἐνεξώρκισε. — 5. εἰθισμένοι κατὰ τὰς] εἰθυσμέναι καταστὰς codex; idem mox: φιλαμμώνα.. ἀρσινώης.. λικναρχὴν.. οἰνάθην.. ἀγαθοκλείαν. De Pelope legato aliunde non constat. De pactis quæ Ptolemæus Philopator, prœlio ad Raphiam commisso victor (217 a. C.), cum Antiocho Magno iniit, vide Polyb. V, 87. De fœdere quod, morte Pt. Philopatoris comperta, Antiochus cum Philippo Macedone de dividendo regno Ægypti fecit, v. Polyb. XV, 20; III, 2, 8: Συμφρονήσαντες Ἀντίοχος καὶ Φίλιππος ἐπὶ διαιρέσει τῆς τοῦ καταλελειμμένου παιδὸς ἀρχῆς ἤρξαντο κακοπραγμονεῖν. Liv. XXXI, 14; Justin. XXX, 2 extr. — 6. De moribus hujus Ptolemæi Sosibii f. a Macedonica legatione reducis vide Polyb. XVI, 22, 3 sqq. Mox προεχειρήσατο codex habet pro προεχειρίσατο. De Ptolemæo Agesarchi f., viro prudente ac strenuo, vide Polyb. XXVII, 12. Hic est Ptolemæus qui res Pt. Philopatoris literis mandavit. — 7. ἐξαπέστειλε] h. vocem supplevi. Scopas e Polybio notissimus. Quænam sub Ptolemæo Epiphane egerit vide lib. XVI, 39, coll. XVI, 8. Nex ejus narratur XVIII, 36 sqq. — 8. προϋπ. οἱ] προϋπ. καὶ codex, quod si genuinum est, excidit vocabulum, μισθοφόρους vel simile quid. — 9. παραπλησίως δὲ καὶ τὰ κατὰ] παραπλήσια ὡς δὲ καὶ κατὰ codex. Mox pro ἔχοντας mallim ἕξοντας.

τῆς σωτηρίας καὶ τῆς ἐπανορθώσεως ἑτοίμους ἕξειν συναγωνιστὰς καὶ συνεργοὺς πρὸς τὸ παραγγελλόμενον. Ταῦτα δ' ἐγενήθη πρότερα τοῦ παρὰ Φιλίππῳ διαβουλίου, ὡς ἐδηλώσαμεν· (10) ἀλλ' ἐκείνων κατὰ τὴν τῆς διηγήσεως τάξιν προτέρων λαμβανομένων, ἀναγκαῖον ἦν οὕτως ταῦτα χειρίζειν, ὥστε πρότερον ἐξηγεῖσθαι τὰς ἐντεύξεις καὶ τοὺς χρηματισμοὺς τῶν πρεσβευτῶν καὶ τῆς καταστάσεως καὶ τῆς ἐξαποστολῆς. Ὁ δὲ Ἀγαθοκλῆς (11) ἐπεὶ τοὺς ἐπιφανεστάτους τῶν ἀνδρῶν ἐκποδὼν ἐποίησε, καὶ τὸ πολὺ τῆς τοῦ πλήθους ὀργῆς παρακατέσχε τῇ τῶν ὀψωνίων ἀποδόσει, παρὰ πόδας εἰς τὴν ἐξ ἀρχῆς συνήθειαν ἐπανῆλθε. Καὶ [τὰς μὲν τῶν φίλων χώρας ἀνεπλήρωσε, παρεισαγαγὼν ἐκ τῆς διακονίας καὶ τῆς ἄλλης ὑπηρεσίας τοὺς εἰκαιοτάτους καὶ θρασυτάτους· αὐτὸς δὲ τὸ πολὺ τῆς ἡμέρας καὶ τῆς νυκτὸς ἐν μέθῃ διέτριβε, καὶ ταῖς τῇ μέθῃ παρεπομέναις ἀκρασίαις, οὐ φειδόμενος οὔτ' ἀκμαζούσης γυναικὸς, οὔτε νύμφης, οὔτε παρθένου· καὶ πάντα ταῦτα ἔπραττε μετὰ τῆς ἐπαχθεστάτης φαντασίας. Ὅθεν πολλῆς μὲν καὶ παντοδαπῆς γιγνομένης δυσαρεστήσεως, οὐδεμιᾶς δὲ θεραπείας οὐδὲ βοηθείας προσαγομένης, τὸ δ' ἐναντίον ἀεὶ προσεπαγομένης ὕβρεως, ὑπερηφανίας, ῥαθυμίας,] ἀνεθυμιᾶτο πάλιν ἐν τοῖς πολλοῖς τὸ προϋπάρχον μῖσος, καὶ πάντες ἀνενεοῦντο τὰ προγεγενημένα περὶ τὴν βασιλείαν [ἀτυχήματα] διὰ τοὺς ἀνθρώπους τούτους. [Τῷ δὲ μηδὲν ἔχειν πρόσωπον ἀξιόχρεων τὸ προστησόμενον, καὶ δι' οὗ τὴν ὀργὴν εἰς τὸν Ἀγαθοκλέα καὶ τὴν Ἀγαθόκλειαν ἀπερείσονται, τὴν ἡσυχίαν ἦγον,] ἔτι μίαν ἐλπίδα ἔχοντες καὶ (12) καραδοκοῦντες, τὴν κατὰ τὸν Τληπόλεμον, καὶ ταύτῃ προσανέχοντες. Ὁ δὲ Τληπόλεμος, ἕως μὲν ὁ βασιλεὺς ἔζη, τὰ καθ' αὑτὸν ἔπραττεν· ἅμα δὲ τῷ μεταλλάξαι ἐκεῖνον, ταχέως ἐξομαλίσας τὰ πλήθη, στρατηγὸς πάλιν ἐγενήθη τῶν κατὰ Πηλούσιον τόπων. Καὶ τὰς μὲν ἀρχὰς ἐποιεῖτο τὴν ἀναφορὰν τῶν πραττομένων ἐπὶ τὸ τοῦ βασιλέως συμφέρον, πεπεισμένος ὑπάρξειν τὶ συνέδριον, ὃ τήν τε τοῦ παιδὸς ἐπιτροπείαν ἕξει καὶ τὴν τῶν ὅλων προστασίαν· ὡς δ' ἑώρα τοὺς μὲν ἀξίους ἐπιτροπῆς ἄνδρας ἐκποδὼν γεγονότας, τῆς δὲ τῶν ὅλων ἀρχῆς κατατολμῶντα τὸν Ἀγαθοκλέα, ταχέως ἐφ' ἑτέρας ἐγένετο γνώμης. Καὶ (13) ὑφορώμενος τὸν προεστῶτα κίνδυνον διὰ τὴν ὑποκειμένην αὐτοῖς ἔχθραν, τάς τε δυνάμεις περὶ αὑτὸν ἤθροιζε καὶ περὶ πόρον ἐγίνετο χρημάτων, ἵνα μηδενὶ τῶν ἐχθρῶν εὐχείρωτος ᾖ. Ἅμα δὲ καὶ τὴν τοῦ παιδὸς ἐπιτροπείαν καὶ τὴν τῶν ὅλων προστασίαν εἰς ἑαυτὸν ἥξειν (*) οὐκ ἀπήλπιζε, νομίζων καὶ κατὰ τὴν ἰδίαν μὲν κρίσιν αὐνὸς ἀξιοχρεώτερος

promptos ad exsequenda imperata se habituros esse salutis suæ et successus socios et adjutores. Ceterum gesta hæc omnia sunt ante Philippi decretum, uti supra indicavimus. Verum quum ex distributione nostræ narrationis Philippi res in superioribus jam exposuerimus, fieri non potuit quin legatorum cum regibus congressus et data iis responsa ante nominationem eorum atque emissionem narraremus. Agathocles vero postquam celeberrimum quemque e medio removerat, ac multitudinis furorem stipendiorum pensione compresserat, e vestigio ad pristinos mores rediit: ac dignitates omnes palatii, quæ tunc vacabant, amicis suis concessit, producto ex ultimis ac servilibus ministeriis levissimo quoque atque impudentissimo. Ipse dies noctesque in vino atque iis quæ vinum consequi solent, libidinibus agebat, nec nuptis nec sponsis nec virginum pudori parcens: atque hæc cuncta cum intolerabili superbia factitabat. Quare quum præsentem rerum statum universi ægre ferrent, nullum autem solatium ac remedium adhiberetur, contra potius insolentia, superbia ac desidia quotidie invalesceret, rursus pristinum vulgi odium exarsit, cunctique calamitates regni ab his hominibus superioribus temporibus profectas in memoriam revocabant. Sed quum idoneus vir deesset, cujus ductu atque opera iram suam in Agathoclem et Agathocleam effunderent, interim quiescebant, unicam spem adhuc in Tlepolemo habentes, qua se tantisper sustentabant. Tlepolemus ille, dum Philopator rex vivebat, suas res privatas curaverat; quum primum autem is fato defunctus esset, demulcens multitudinem iterum dux exercitus in regione Pelusiaca creatus est. Et initio quidem ita egit, ut ad regis commoda omnia dirigeret; censebat enim collegium constitutum iri, cui tutela pueri et summa rerum administratio demandaretur. Sed ubi vidit dignos suscipiendæ tutelæ viros e medio removeri, summamque rerum audacter affectare Agathoclem, mox sententiam mutavit. Ac suspicans periculum, quod ex simultate cum Agathocle sibi intercedente proditurum foret, copias circa se congregabat cogendisque pecuniis operam dabat, ut a nemine facile subigi posset. Simul vero non desperabat fore, ut tutelam pueri summamque rerum administrationem ad se pertraheret: nam vel suo ipsius judicio se magis quam Agathoclem ad quodvis negotium esse ido-

10. De hac legatione statim post mortem regis ad Antiochum missa in antecedentibus sermonem fuisse etiam ex superstitibus Excerptis eorumque serie colligitur. Vide lib. XV, 20 (Exc. Antiq.). Ad Philippi consilia, a Polybio severe castigata, referendum quoque est Exc. Vatican. (XV, 24), ubi nostro loco respondent hæc: Ἐπεὶ πάσας καθ' ἕκαστον ἔτος τὰς κατάλληλα πράξεις γενομένας κατὰ τὴν οἰκουμένην ἐξηγούμεθα, δῆλον ὅτι ἀναγκαῖόν ἐστι καὶ τὸ τέλος ἐπ' ἐνίων πρότερον ἐκφέρειν τῆς ἀρχῆς κτλ. — 11. Quæ sequuntur, inde ab Ἀγαθοκλῆς usque ad καὶ ταύτῃ προσανέχοντες, leguntur etiam in editis (libro XV, 25, 3—8), sed multo plenius. Etenim ea omnia quæ uncis inclusi, in nostro codice desunt. — 12. ἔχοντες καὶ] hæc duo vocabula in editis desunt; absque damno. — 13. καὶ] particulam huc transposui ex seqq., ubi codex præbet: ἔχθραν καὶ τάς τε δυνάμεις. — * ἥξειν] cod. ἕξειν.

ὑπάρχειν Ἀγαθοκλέους πρὸς πᾶν ἔτι μᾶλλον (14), πυνθανόμενος δὲ καὶ τὰς ὑφ' ἑαυτὸν ταττομένας δυνάμεις καὶ τὰς κατὰ τὴν Ἀλεξάνδρειαν ἐπ' ἐκείνῳ τὰς ἐλπίδας ἔχειν τοῦ καταλύειν τὴν Ἀγαθοκλέους ὕβριν. Οὔσης δὲ περὶ αὐτὸν οἵας εἴρηκα διαλήψεως, ταχέως τὰ τῆς διαφορᾶς αὔξησιν ἔλαβε, συνεργούντων ἀμφοτέρων πρὸς τὴν τοιαύτην ὑπόθεσιν. Ὁ μὲν γὰρ Τληπόλεμος ἐξιδιάζεσθαι σπεύδων τοὺς ἡγεμόνας καὶ ταξιάρχας καὶ τοὺς ἐπὶ τούτων (15) ταττομένους, συνῆγε πότους ἐπιμελῶς, καὶ παρὰ τὰς συνουσίας τὰ μὲν ὑπὸ τῶν πρὸς χάριν λεγόντων ἐκκηλούμενος (16), τὰ δὲ ὑπὸ τῆς ἰδίας ὁρμῆς, ἅτε νέος ὢν καὶ παρὰ τὸν οἶνον γενομένης τῆς ὁμιλίας, ἐῤῥίπτει λόγους κατὸ τῆς συγγενείας τῆς τῶν περὶ τὸν Ἀγαθοκλέα, τὰς μὲν ἀρχὰς αἰνιγματώδεις, εἶτ' ἀμφιβόλους, τὸ δὲ τελευταῖον ἐκφανεῖς καὶ τὴν πικροτάτην ἔχοντας λοιδορίαν· ἐπεχεῖτο (17) γὰρ τοῦ θρανογράφου καὶ τῆς καλλωπιστρίας (18) καὶ τῆς κουρίδος, ἔτι δὲ τοῦ παιδαρίου τοῦ πάντα πεποιηκότος καὶ πεπονθότος παρὰ τοὺς πότους, ὅτε ᾠνοχόει τῷ(*) βασιλεῖ παῖς ὤν. Ἐπὶ δὲ τούτοις ἀεὶ τῶν συμπαρόντων γελώντων, καὶ συμβαλλομένων τι πρὸς τὸν χλευασμὸν, ταχέως εἰς τοὺς περὶ τὸν Ἀγαθοκλέα τὸ πρᾶγμα παρεγενήθη. Γενομένης δ' ἔχθρας ὁμολογουμένης, εὐθέως ὁ Ἀγαθοκλῆς διαβολὴν εἰσῆγε κατὰ τοῦ Τληπολέμου, φάσκων αὐτὸν ἀλλοτριάζειν τοῦ βασιλέως καὶ καλεῖν Ἀντίοχον ἐπὶ τὰ πράγματα· καὶ πολλὰς εἰς τοῦτο τὸ μέρος ηὐπόρει πιθανότητας, τὰς μὲν ἐκ τῶν συμβαινόντων παρεκδεχόμενος καὶ διαστρέφων, τὰς δὲ ἐκ καταβολῆς πλάττων καὶ διασκευάζων. Ταῦτα δ' ἐποίει βουλόμενος τὰ πλήθη παροξύνειν κατὰ τοῦ Τληπολέμου· συνέβαινε δὲ τοὐναντίον. Πάλαι γὰρ ἐπὶ τῷ προειρημένῳ τὰς ἐλπίδας ἔχοντες οἱ πολλοὶ καὶ λίαν ἡδέως ἑώρων ἐκκαιομένην τὴν διαφοράν. Ἐγένετο δ' ἡ καταρχὴ τοῦ περὶ τὰ πλήθη κινήματος (19) διά τινας τοιαύτας αἰτίας. Νίκων (20) ὁ συγγενὴς τῶν περὶ τὸν Ἀγαθοκλέα, ζῶντος ἔτι τοῦ βασιλέως καθεστάμενος ἦν ἐπὶ τοῦ ναυτικοῦ, τότε δὲ τῶν ***.

nenm censebat, tum vero comperiebat et quibus ipse præesset, et qui Alexandriæ degerent milites in ipso spes de compescenda Agathoclis insolentia repositas habere. Talia quum agitaret consilia, mox in majus auctum dissidium est, sua utroque ad hoc contribuente. Nam Tlepolemus duces, centuriones ceterosque ordinum præfectos conciliare sibi studens ad compotationes sedulo convocabat, et inter confabulationes partim ab assentatoribus excitatus partim suo ingenio indulgens (quippe juvenilis adhuc ætatis erat et ad pocula sermones nectebantur), dicteria jaciebat in familiam Agathoclis primum obscuriora, mox ambigua, tandem aperta et acerbissimi plena convicii. Sic pocula implebat ebibebatque in honorem pictoris parietum et mulieris comtricis et tonstricis, porro in honorem pueri, qui regis in compotationibus pincerna nihil non fecerit fierique sibi passus sit. Hæc quum risu convivæ exciperent et de suo aliquid cavillationi adjicerent, cito ad Agathoclem res pervenit. Quoniam igitur in confesso simultas erat, statim Agathocles calumniari Tlepolemum cœpit, dictitans eum a rege alienum esse et Antiochum ad regnum arcessere. Ac multa ad persuadendum argumenta in promptu habebat, quæ vel ex iis quæ revera accidebant detorquendo eruebat, vel a fundamento ipse confingebat adornabatque. Consilium vero erat, ut sic multitudinem contra Tlepolemum exacerbaret: at contrarium prorsus evenit. Nam vulgus, quod jam dudum in Tlepolemo spes collocaverat, lubenter admodum exardescentem istam simultatem spectabat. Initium vero motus populi factum est ob causas hujusmodi. Nico, affinis Agathoclis, rege superstite, classi præfectus fuerat, tunc vero ***.

---

14. **ἔτι μᾶλλον**] Sic codex. Quæ si sana sunt, scribe πρὸς πᾶν, ἔτι μᾶλλον δὲ πυνθανόμενος κτλ. Attamen corrupta potius esse mihi videntur, reponendumque: πρὸς πᾶν ὅ τι μέλλον. — 15. **ἐπὶ τούτων**] scribendum potius ἐπὶ τούτοις, *eos qui post taxiarchas locum obtinent*, ἑκατοντάρχας etc. — 16. **ἐκκηλ.**] ἐκηλ. codex. Ceterum dubites an non fuerit ἐκκινούμενος, vox bene nota. Contra verbum ἐκκηλέω nusquam, quantum scio, occurrit, nisi quod apud Hesychium: **ἐξεκελέμησεν**, ἐξηύλησεν, ἔθελξεν, Casaubonus reponi vult ἐξεκήλησεν. — 17. **ἐπεχεῖτο**] dictum est, ut ἐπιχεομένου τοῦ Δημητρίου ap. Phylarchum in Athen. Deipnos. VI, p. 261, B, pro quibus Plutarchus in Demetr. 25: ἐπιχύσεις λαμβάνοντας Δημητρίου. De voce θρανογράφος hucusque ex uno constabat Hesychio, qui θρανογράφους esse dicit τοὺς εὐπρεπεῖς τοιχογράφους. Proprie sunt pictores qui coloribus ornant τοὺς θράνους, i. e. sec. Pollucem X, 49, τὰ ξύλα τὰ καταπλείοντα τοὺς πλινθίνους τοίχους. — 18. **καλλωπιστρίας**] sic scripsi pro cod. ἀμμουνιστρίας, quamquam non defore spero, qui nescio quam Ammonis ministram expiscandam esse putent. — * **ᾠνοχόει τῷ**] codex ᾠνοχοεῖτο — 19. **κινήματος**] νικήματος codex. — 20. **Νίκων**] Exstat hujus Niconis mentio in editis (XV, 33, 7), ubi una cum matre Agathoclis et sororibus reliquisque cognatis a plebe trucidatus esse dicitur.

# ΔΙΟΝΥΣΙΟΥ ΑΛΙΚΑΡΝΑΣΣΕΩΣ.

## [ΕΚ ΒΙΒΛ. ΙΒ'.]

Ὅτι λιμοῦ κατὰ τὴν Ῥώμην γενομένου ἰσχυροῦ, ἀνήρ τις οἴκου τε οὐκ ἀφανοῦς καὶ χρήμασιν ἐν τοῖς μάλιστα δυνατὸς, Σπόριος Μάλλιος (1), εὐδαίμων ἐπίκλησιν ἐπὶ τῆς πολλῆς εὐπορίας, νεωστὶ μὲν παρειληφὼς τὸν οἶκον τοῦ πατρὸς, ἡλικίαν δὲ (1*) καὶ τάξιν ἔχων ἱππικὴν, οἷα μήτε ἀρχὰς παραλαμβάνειν μήτε ἄλλην κοινὴν ἐπιμέλειαν μηδεμίαν, λαμπρὸς εἴ καί τις ἄλλος τὰ πολεμικὰ (2), καὶ πολλοῖς κεκοσμημένος ἀριστείοις, κράτιστον ὑπολαβὼν καιρὸν ἐπιθέσει τυραννίδος, ἐπὶ δημαγωγίαν τοῦ πλήθους ἐτράπετο, τὴν ῥαστώνην τῶν ἐπὶ τυραννίδα φερουσῶν ὁδῶν. Ἔχων δὲ πολλοὺς ἑταίρους καὶ πελάτας, ἄλλους ἄλλη διέπεμψε, χρήματα δοὺς ἐκ τῶν ἰδίων ἐς συναγυρμοὺς (3) τροφῆς· καὶ αὐτὸς εἰς Τυρρηνίαν (4) ᾤχετο. Ἐν βραχεῖ δὲ χρόνῳ δι' ἑαυτοῦ τε καὶ τῶν ἑταίρων πολλὴν κατακομίσας ἀγορὰν, διεμέτρει (5) τοῖς πολίταις, ἀντὶ δώδεκα δραχμῶν διδράχμου ἀπομετρῶν τὸν μόδιον· ὅσους δὲ αἴσθοιτο παντάπασιν ἀδυνάτους καὶ μηδ' (6) ὑπὲρ τῆς ἐφημέρου τροφῆς ἔχοντας προέσθαι τὸ διάφορον ἄνευ τιμῆς χαριζόμενος. Ταύτῃ τῇ φιλανθρωπίᾳ τὸν δῆμον ἀναλαβὼν καὶ θαυμαστὴν ὅσην δόξαν ἀπενεγκάμενος ᾤχετο πάλιν ἐμπορευσόμενος ἑτέρας ἀγοράς· καὶ παρῆν οὐ διὰ μακροῦ ποταμηγοὺς (7) ἄγων σκάφας πολλὰς πάνυ μετὰ τροφῆς· καὶ τὸν αὐτὸν τρόπον τοῖς [πολίταις] ἐμέτρει. Οἱ δὲ πατρίκιοι ταῦτα πράττοντα ὁρῶντες αὐτὸν ὑποψίας τε ἐλάμβανον τῆς ἄγαν φιλοτιμίας τοῦ ἀνδρὸς, οὐδὲν ἀγαθοῦ ἀπολαύσειν οἰόμενοι, καὶ συνιστάμενοι κατὰ τὴν ἀγορὰν ἐσκόπουν ὅντινα χρὴ τρόπον εὐπρεπέστερον ἄνευ κινδύνου παῦσαι τούτων αὐτὸν τῶν πολιτευμάτων, κρύφα μὲν τὸ πρῶτον καὶ κατ' ὀλίγους συνιόντες καὶ διαλεγόμενοι πρὸς ἀλλήλους, ἔπειτα καὶ ἐκ τοῦ φανεροῦ καταβοῶντες, ἐπειδὴ βαρύς τε (8) καὶ ἀφόρητος ἦν, ἔργῳ τε πράττων ὑπερηφανίας

## [E LIBRO XII.]

Fame per urbem sæviente, vir generis haud obscuri et opibus quam maxime pollens, Spurius Mælius, cui Felicis cognomentum ob bonorum abundantiam, nuper hereditate paterna potitus, in ætatis flore constitutus, ordini equestri adscriptus, neque magistratu neque alio quovis munere publico unquam functus, ceterum si quis alius re bellica clarus multisque virtutis præmiis ornatus: is igitur, egregiam tyrannidis affectandæ occasionem sese nactum ratus, gratiam et auctoritatem popularem captare cœpit: quæ quidem via omnium facillime ad tyrannidem ducere solet. Itaque quum multos familiares et clientes haberet, alios dimisit, qui pecunia ejus privata frumentum coemerent; eodemque ipse consilio in Etruriam profectus est. Et quum brevi magnam annonæ copiam tum sua tum sodalium opera in urbem convexisset, inter cives eam dimetiebatur, pretio modii a duodecim drachmis ad duas reducto; quotquot vero prorsus egenos noverat et qui ne quotidiani quidem victus impensam facere possent, iis sine pretio gratificabatur. Qua humanitate postquam populi favorem sibi conciliaverat et mirum quantam nominis celebritatem nactus erat, denuo ad annonam quærendam profectus est, nec multo post rediit naves fluviatiles ducens multo refertas frumento, quod sicuti antea civibus dimetiebatur. Hæc videntes patricii nimiam viri ambitionem suspectabant, nec boni quidquam inde sibi evasurum augurabantur. Et coeuntes in foro dispiciebant num qua ratione speciosa absque periculo avertere Spurium a cœptis istis possent. Congressus illi primum clandestini erant et paucorum inter se colloquia, deinde vero etiam ex aperto agere et clamoribus Spurium accusare: nimirum molestus admodum et plane intolerabilis evaserat, tum

---

I. *Fol.* 186, 1 r. — 193, 8 r. Quæ hoc loco de Sp. Mælio narrantur, Titus Livius exponit lib. IV, c. 16 sqq.; succinctius de iisdem e Dionis Cassii libris deperditis agit Zonaras VII, 20; paucis rem tangunt complures, ut Cicero De rep. II, 27. 29; Cato 16, 56; Pro Milon. 27, 72; in Catilin. I, 1, 4; Philipp. II, 44, 114; Læl. 11, 36. Florus I, 26, 7, alii. Cf. etiam de Æquimelio Cicero De divin. II, 17; Pro domo 38, 101; Valerius Max. VI, 3, 1. Dionysius eandem quam Livius narrationem sequitur, verum multo fusius rem tradit, et præter narrationem, quæ ipsi videbatur verisimillima esse, aliam subjungit ex probatissimis auctoribus, L. Cincio Alimento et Calpurnio Pisone, repetitam. Quam si nosset Niebuhrius (*Röm. Gesch.* II, p. 470 sqq.), multo etiam confidentius memoriam Sp. Mælii ab affectatæ tyrannidis crimine purgare, ac patriciorum potius odio virum oppressum dicere sustinuisset. — Fragmentum nostrum e libro XII depromptum esse non est cur pluribus ostendam.

1. Μάλλιος] codex modo Μάλλιος modo Μάλιος. Eodem modo codices Zonaræ. — 1*. δὲ] τε codex. — 2. πολεμικὰ] codex πολέμια, quod etsi excerptor pro πολεμικὰ usurpare potuit, a Dionysio tamen alienum est. Deinde codex καὶ κοσμένης pro κεκοσμένης. — 3. ἐς συναγ.] ἐκσυναγυρμοὺς codex. — 4. Τυρρηνίαν] τυραννίαν codex. — 5. διεμέτρει] διεμέρει codex. — 6. μηδ'] μήδ' codex. — 7. ποταμηγοὺς] ποταμιγοὺς codex. Mox inserui π. πολίταις. — 8. τε] ἔτι codex. Fort. erat βαρύτα-

Διαμεμετρημένη ἡμέρα. Est mensura quædam aquæ ad definitum diei spatium fluens : quæ mense Posideone mensurabatur. Ad aquam istam judicia de causis maximi momenti habebantur. Aqua autem in tres dividebatur partes, quarum una actori, altera reo, tertia judicibus assignabatur. Id luculentissime ipsi rhetores declarant, uti v. c. Æschines in oratione contra Ctesiphontem. Aristoteles vero de his exponit in Rep. Atheniensium.

36.

Aristoteles in Rep. Atheniensium scribit hæc : « Sunt autem calculi ærei, auliscum in medio habentes, quorum dimidia pars perforata, dimidia solida. Ceterum ii quibus hoc demandatum est, postquam perorata utrimque causa est, singulis judicibus binos tradunt calculos, perforatum et solidum, idque adversariis inspectantibus, ne judices vel ambos solidos vel ambos perforatos accipiant. »

37.

Aristoteles in Rep. Athen. : « Calculi accusantis perforati, rei vero solidi erant. Cui plures erant, is vincebat; sin æquales, reus absolvebatur. »

38.

Κημὸς erat super urna, in quam calculi a judicibus injiciebantur. Postea duas in judiciis collocabant amphoras, alteram æneam, alteram ligneam; illa rata, hæc irrita. Ænea quoque, ut Aristoteles dicit, operculum habet perlimatum in tantum, ut foramen ipsum solummodo calculum immitti sinat.

39.

Harpocration : Διαιτηταί... Εἰσὶ δὲ οἱ διαιτηταὶ ἕτεροι τῶν δικαστῶν· οὗτοι μὲν γὰρ ἐν δικαστηρίοις ἐδίκαζον ἀποδεδειγμένοις καὶ τὰς ἀπὸ τῶν διαιτητῶν ἐφεσίμους ἔκρινον, οἱ δὲ διαιτηταὶ πρότερον κλήρῳ λαχόντες ἢ ἐπιτρεψάντων αὐτοῖς τῶν κρινομένων τοῖς κρινομένοις διῄτουν. Καὶ εἰ μὲν ἤρεσκε τοῖς ἀντιδίκοις, τέλος εἶχεν ἡ δίκη· εἰ δὲ μή, τὰ ἐγκλήματα καὶ τὰς προκλήσεις καὶ τὰς μαρτυρίας, ἔτι δὲ καὶ τοὺς νόμους καὶ τὰς ἄλλας πίστεις ἑκατέρων ἐμβαλόντες εἰς καδίσκους καὶ σημηνάμενοι παρεδίδοσαν τοῖς εἰσαγωγεῦσι τῶν δικῶν. Λέγει δὲ περὶ αὐτῶν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

Cf. Pollux VIII, 126 : Διαιτηταὶ δὲ ἐκ τῶν ὑπὲρ ἑξήκοντα ἔτη γεγονότων ἐκληροῦντο, καὶ ἐπεκληροῦντο αὐτοῖς αἱ δίαιται· καὶ ἀτιμία ἀφώριστο τῷ μὴ διαιτήσαντι τὴν ἐπικληρωθεῖσαν δίαιταν· τῶν δ' ἐν Ιεροῖς πάλαι οὐδεμία δίκη πρὶν ἐπὶ διαιτητὰς ἐλθεῖν εἰσήγετο· ἔλεγον δὲ ἐπιτρέψαι δίαιταν, καὶ ἡ δίαιτα ἐκαλεῖτο ἐπιτροπή· ἡ δὲ ἔφεσις αὐτῶν εἰ εἰς δικαστήριον ἐγίγνετο, εἰς ἐχῖνον τὰς ψήφους ἐμβαλόντες ἰδίᾳ ἑκατέρας τοῦ φεύγοντος καὶ τοῦ διώκοντος κατεσημαίνοντο· ἐλάμβανον δὲ οἱ διαιτηταὶ δραχμὴν παρὰ τοῦ κρίνοντος τὴν καλουμένην παράστασιν, ἐγγράψαντος αὐτοῦ ἐν γραμματείῳ τὸ ἔγκλημα καὶ τὸ τίμημα· ἐλάμβανον δὲ καὶ ἑτέραν ὑπὲρ τῆς ἀντωμοσίας. Schol. in Platon. p. 457 Bekk.; Bekker. Anecd. I, p. 235. Hermann. l. l. § 145; Schœmann. Antiq. p. 266 et 284 sq.

40.

Schol. Aristoph. Vesp. 1437 : Ὁ ἐχῖνος, ἄγγος τι χαλκοῦν ἢ καὶ ἐκ κεράμου, εἰς ὃ καθιᾶσιν οἱ διαιτηταὶ τὰ γραμματεῖα τῶν μαρτυριῶν, ἃ τινες ἐμαρτύρησαν, καὶ κατασημηνάμενοι μετὰ ταῦτα, εἰ ἐγκληθείη ἡ δίαιτα, τοῖς δικασταῖς ἐπεδίδουν. Τοῦ δ' ἄγγους τούτου καὶ Δημοσθένης μνημονεύουσι καὶ Ἀριστοτέλης. Scholiastam exscripserunt Photius et Suidas s. v.

Harpocration : Ἐχῖνος ἐστι μὲν ἄγγος τι, εἰς ὃ τὰ γραμματεῖα τὰ πρὸς τὰς δίκας ἐτίθεντο· Δημοσθένης ἐν τῷ πρὸς Τιμόθεον μνημονεύει Τοῦ ἄγγους τούτου καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ.

Confer Polluc. VIII, 17; Lex. Rhet. in Bekk. An. p. 258, 3; Stephan. Thesaur. s. v; Hermann. § 141, 12; Schœmann. p. 281.

41.

Harpocration : Κατὰ δήμους δικαστάς. Περὶ τῶν κατὰ δήμους δικαστῶν, ὡς πρότερον μὲν ἦσαν τριάκοντα, καὶ κατὰ δήμους περιιόντες ἐδίκαζον, εἶτα ἐγένοντο τεσσαράκοντα, εἴρηκεν Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ.

Pollux VIII, 100 : Οἱ δὲ τεσσαράκοντα πρότερον μὲν ἦσαν τριάκοντα, οἱ περιιόντες κατὰ δήμους τὰ μέχρι δραχμῶν δέκα ἐδίκαζον, τὰ δὲ ὑπὲρ ταῦτα, διαιτηταῖς παρεδίδοσαν. Μετὰ δὲ τὴν τῶν τριάκοντα ὀλιγαρχίαν μίσει τοῦ ἀριθμοῦ τῶν τριάκοντα τεσσαράκοντα ἐγένοντο. Cf. Aristot. Pol. IV, 13, 2. Hermann. § 146.

41 a.

Pollux VIII, 62 : Ἔφεσις δέ ἐστιν, ὅταν τις ἀπὸ διαιτητῶν ἢ ἀρχόντων ἢ δημοτῶν ἐπὶ δικαστὴν ἐφῇ, ἢ ἀπὸ βουλῆς ἐπὶ δῆμον, ἢ ἀπὸ δήμου ἐπὶ δικαστήριον, ἢ ἀπὸ δικαστῶν ἐπὶ ξενικὸν δικαστήριον· ἐφέσιμος δ' ὠνομάζετο ἡ δίκη· αὗται δὲ καὶ ἔκκλητοι δίκαι ἐκαλοῦντο. Τὸ δὲ παρακαταβαλλόμενον ἐπὶ τῶν ἐφέσεων, ὅπερ οἱ νῦν παραβόλιον καλοῦσι, παράβολον Ἀριστοτέλης λέγει.

42.

Harpocration : Ἐπιμελητὴς ἐμπορίου. Ἀριστοτέλης· « Ἐμπορίου δ' ἐπιμελητὰς ι' κληροῦσιν, τούτοις δὲ προστέτακται τῶν τε ἐμπορίων ἐπιμελεῖσθαι, καὶ τοῦ σίτου τοῦ καταπλέοντος εἰς τὸ Ἀττικὸν ἐμπόριον τὰ β' μέρη τοὺς ἐμπόρους ἀναγκάζειν εἰς τὸ ἄστυ κομίζειν. » Eadem in Bekk. Anecd. I, p. 255, ubi post δέκα τὸν ἀριθμὸν adduntur : ἑκάστου ἔτους καθιστάμενοι. Cf. Bœckh. Œcon. Civil. Athen. tom. I, p. 50 sq. Hermann. 136.

43.

Harpocration : Ἀγορανόμοι, οἱ τὰ κατὰ τὴν

39.

Arbitri a judicibus diversi fuerunt; nam judices in assignatis foris judicarunt, litesque ab arbitris ad se translatas discreverunt; arbitri vero ante sorte lecti quam ii, quorum de re agitur, se iis permitterent, arbitrium reddiderunt, et si litigantibus placuisset, finem liti imposuerunt; sin minus, crimina et citationes et testimonia et leges et alias utriusque probationes in echinum conjectas atque obsignatas litium introductoribus tradiderunt. De quibus Aristoteles disserit in Rep. Atheniensium.

40.

Echinus, vas æneum vel etiam figulinum, in quod deponebant arbitri tabulas testimoniorum, et quod obsignatum tum quum in judicium res vocaretur, judicibus tradebant. Vasis hujus mentionem faciunt et Demosthenes et Aristoteles.

41.

De judicibus κατὰ δήμους, qui primum triginta, deinde quadraginta fuerunt, et singulos pagos obeuntes jus dicebant, Aristoteles scripsit in Rep. Athen.

42.

Aristoteles : « Decem emporii curatores sorte legunt, quibus id negotii datum est, ut emporiorum curam habeant et frumenti, quod in Atticum emporium advehatur, duas partes in urbem mercatores deferre cogant. »

ἀγορὰν ὤνια διοικοῦντες ἄρχοντες... Ἀριστοτέλης δ' ἐν Ἀθηναίων πολιτείᾳ κληροῦσθαί φησι ε' μὲν εἰς Πειραιᾶ, ε' δὲ εἰς ἄστυ. In Blancardi editione perperam legitur : ια' δὲ εἰς ἄστυ, quæ lectio neque in codd. Bekkeri invenitur, neque aliunde se commendat. V. Bœckh. C. Inscr. I, p. 337 B. Cf. schol. Aristoph. Av. 723; Theophrast. ap. Photium et Suidam v. Κατὰ τὴν ἀγοράν; Hermann. 150, 9; Schœmann. p. 246.

44.

Harpocration : Σιτοφύλακες· ἀρχή τις ἦν Ἀθήνησιν ἥτις ἐπεμελεῖτο ὅπως ὁ σῖτος δικαίως πραθήσεται καὶ τὰ ἄλφιτα καὶ οἱ ἄρτοι. Ἦσαν δὲ τὸν ἀριθμὸν ιε', [ι'] μὲν ἐν ἄστει, ε' δ' ἐν Πειραιεῖ, ὡς Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

[ι'] addidit Valesius. Apud Photium postrema exhibentur ita : ἦσαν δὲ τὸν ἀριθμὸν πάλαι μὲν ιε', [ι'] ἐν ἄστει, ε' δὲ ἐν Πειραιεῖ, ὕστερον δὲ λ' μὲν ἐν ἄστει, ε' δὲ ἐν Πειραιεῖ, ὡς Ἀρ. ἐν Ἀθ. πολ. Cf. Pollux. VI, 36 et Bekk. Anecd. I, p. 300. Bœckh. Œcon. Athen. I, 91; Hermann. 150, 11.

45.

Idem : Μετρονόμοι. Ἀρχή τις Ἀθήνησίν ἐστιν ἡ τῶν μετρονόμων, ὡς Δείναρχος ἐν τῷ κατὰ Καλλισθένους. Ἦσαν δὲ τὸν ἀριθμὸν ιε', εἰς μὲν τὸν Πειραιᾶ ι', ε' δ' εἰς ἄστυ, εἶχον δὲ τὴν ἐπιμέλειαν ὅπως δίκαια εἴη τὰ μέτρα τῶν πωλούντων, ὡς καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ δηλοῖ.

ιε' μὲν εἰς Πειραιᾶ, θ' (ἐννέα, quod natum ex ε') δὲ εἰς ἄστυ cod. D. Paris. Ita etiam Suidas s. h. v., ubi tamen unus liber pro θ' habet ι'. Photius s. v. : ἦσαν δὲ τὸν ἀριθμὸν δεκαπέντε μὲν εἰς Πειραιᾶ, ἐννέα δὲ εἰς ἄστυ, et altera glossa : ἄρχοντες ἦσαν δέκα τὸν ἀριθμόν, ὧν πέντε μὲν ἐν ἄστει, πέντε δὲ ἐν Πειραιεῖ. Hoc etiam in Lex. Seg. ap. Bekk. Aned. p. 278, 25. — Ceterum dubitari vix potest cum Bœckhio, Œcon. Civ. Ath. I, p. 52, scribendum esse ap. Harpocrat. εἰς μὲν τὸν Πειραιᾶ πέντε, δέκα δ' εἰς ἄστυ. Cf. Hermann. l. l. 152, 12.

46.

Harpocration : Ἀστυνόμος. Δημοσθένης κατὰ Τιμοκράτους (§ 112, p. 735, 10). Δέκα φησὶν εἶναι τοὺς ἀστυνόμους Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ, ε' μὲν ἐν Πειραιεῖ, ε' δ' ἐν ἄστει. Τούτοις δέ φησι μέλειν περί τε τῶν αὐλητρίδων καὶ ψαλτριῶν καὶ τῶν κοπρολόγων καὶ τῶν τοιούτων. Cf. Aristot. Polit. VI, 4, 6; Bœckh. C. I. I, p. 337; Schubart. De ædil. p. 88; Hermann. 150, 7; Schœmann. p. 246.

47.

Phot. Lex. : Πεζὰς μόσχους· ἀντὶ τοῦ ἑταίρας· ἐλέγοντο γάρ τινες οὕτως, ὡς Ἀριστοτέλης ἐν πολιτείᾳ· τὰς χωρὶς ὀργάνων. Κάνθαρος Συμμαχίᾳ· « Αὐλητρίδα πεζήν »· καὶ Εὔπολις Κόλαξι. Huc pertinet quæ in sequentibus p. 405, 1 alieno loco s. v. Πεζή leguntur : Τὰς ἑταίρας τὰς μὴ μουσικάς, ἀλλ' ἄνευ ὀργάνων καὶ ψιλάς, πεζὰς καλοῦσιν. Cf. Hesych. : Πεζὰς μόσχους· οὕτως ἐκάλουν τὰς μισθαρνούσας ἑταίρας χωρὶς ὀργάνου. Etym. M. p. 658, 36 : Πεζαὶ ἑταῖραι αἱ χωρὶς ὀργάνων εἰς τὰ συμπόσια φοιτῶσαι. Cf. schol. Eur. Alc. 460.

47 a.

Etym. M. Ἱεροποιοί (coll. Lex. Rhet. in Bekk. An. p. 265 et Photius s. v.), κληρωτοὶ ἄρχοντες εἰσὶ δέκα τὸν ἀριθμόν, οἵ τά τε μαντεύματα ἱεροθετοῦσι (ἱεροθυτοῦσι, Lex. Rhet. et Phot.), κἄν τι καλλιερῆσαι δέῃ, καλλιεροῦσι μετὰ τῶν μάντεων, καὶ θυσίας τὰς νομιζομένας ἐπιτελοῦσι καὶ τὰς πενταετηρίδας ἁπάσας, πλὴν Παναθηναίων. Ταῦτα Ἀριστοτέλης ἱστορεῖ ἐν τῇ Ἀθηναίων πολιτείᾳ. Deinde citato Demosthene p. 47, 13, addit : Μὴ ἀγνοῶμεν δὲ ὅτι καὶ ἄλλοι εἰσὶν ἱεροποιοὶ τῶν σεμνῶν θεῶν τὸν ἀριθμὸν δέκα (οἱ τὸν ἀριθμόν εἰσιν ἀόριστοι Phot.). Idque confirmat citato Demosthene p. 552, 6 et Dinarcho. Cf. Pollux VIII, 107 : Δέκα ὄντες (sc. οἱ ἱεροποιοὶ) οὗτοι ἔθυον θυσίας τὰς πενταετηρίδας, τὴν εἰς Δῆλον, τὴν ἐν Βραυρῶνι, τὴν τῶν Ἡρακλειδῶν (Ἡρακλείων?), τὴν Ἐλευσινάδε. Hermann. *Staatsalt.* 150, 1; *Gottesdienstliche Alterth.* 11, 10. 62, 11 et 13. De Διονυσίων ἐπιμελητῶν v. fr. 27 b.

---

43.

Agoranomi, magistratus qui res in foro venales administrant. Aristoteles in Rep. Atheniensium sorte eligi dicit, quinque in Piræeum, et quinque in urbem.

44.

Sitophylaces, magistratus erat Athenis, qui curabat ut frumentum, farinæ et panes justo pretio venderentur; eorumque quindecim erant, decem in urbe, quinque in Piræeo, uti Aristoteles in Rep. Athen. monet.

45.

Metronomi, magistratus Athenis, qui mensuris præfecti, teste Dinarcho in oratione adversus Callisthenem. Erant autem quindecim, decem (*quinque*) in Piræeo, quinque (*decem*) in urbe; curabantque ut mensuræ vendentium justæ essent, quod Aristoteles quoque in Rep. Athen. docet.

46.

Decem esse astynomos Aristoteles dicit in Athen. Rep., quinque in Pyræeo, quinque in urbe; curæ iis esse dicit tibicinas, psaltrias, stercorilegos et horum similes.

47.

Πεζὰς μόσχους meretrices quasdam appellabant, ut Aristoteles in (Athen.) Rep. dicit, eas scilicet, quæ absque musicis instrumentis artem suam quasi nudam exercebant.

47 a.

Sacrifici, magistratus sorte lecti decem numero, qui vaticiniorum causa sacra instituunt, et si litare oporteat,

putata, colligitur hinc Aristotelis librum de republica Atheniensium esse post id tempus editum, quo Alexander eos sibi arrogaret natales. Verum quod Aristoteles ut Dinarchus et Philochorus Paralum et Ammoniada novisse dicuntur, si ita accipiendum est, quasi vero Salaminiam non noverint, recte conjecisse putandus est idem Grashofius Ammoniada non novam navem sacram fuisse, sed nomen id Salaminiæ esse datum, ita ut quo tempore Ammonis fuerit, non fuerit Salaminia; atque eodem sane illud facere videtur, quod Protogenes pictor, qui circa Olymp. 104 natus et post Olymp. 119 obiisse videtur, quum Athenis propylæon pingeret, Paralum et Ammoniada ibi fecit, non omissurus Salaminiam, si Salaminia eo tempore fuisset. Neque vero contra eam conjecturam pugnat, quod in inscriptionibus quibusdam, quæ ad rem navalem Atheniensium spectant, — Bœckhius eas a. 1840 edidit et elegantissimæ doctrinæ plenissimo commentario instruxit (*Urkunden über d. Seewesen d. att. Staats*) — Salaminia navis et triremis et quadriremis commemoratur, Ammonis non commemoratur. Etenim ex illis inscriptionibus quarta, quippe quæ aut Ol. 105, 4 aut 106, 1 scripta videatur, hic ne in censum quidem venit; itaque agitur tantum de inscriptione XIV quæ Ol. 113, 4, et de inscriptionibus XV et XVI quæ Ol. 114, 2 scriptæ sunt; statuendum erit igitur Salaminiæ nomen mox revocatum esse datumque sive rursus ipsi Ammonidi sive alii navi, quorum hoc probabilius est : neque quidquam est quod nos cogat, ut Salaminiam navem inscriptionum illarum pro nave sacra et publica habeamus. » Hæc doctissimus Meierus. Cf. ejusdem dissertationem de Paralo in *Ersch. u. Gruber. Enclycl.* sec. II, vol. XI, et Bœckh. l. l. p. 78. Veterum testimonia collecta habes in Stephan. Thes. v. Πάραλος.

50.

Harpocration : Ἀποδέκται· ἀρχή τίς ἐστι παρ' Ἀθηναίοις οἱ ἀποδέκται, ἧς πολλάκις μνημονεύουσιν οἱ ῥήτορες καὶ οἱ κωμικοί. Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ δεδήλωκεν, ὡς δέκα τε εἴησαν, καὶ ὡς παραλαβόντες τὰ γραμματεῖα ἀπαλείφουσι τὰ καταβαλλόμενα χρήματα τῆς βουλῆς ἐναντίον ἐν τῷ βουλευτηρίῳ, καὶ πάλιν ἀποδιδόασιν τὰ γραμματεῖα τῷ δημοσίῳ· καὶ ἁπλῶς ἃ πράττουσι διασαφεῖ. Ὅτι δὲ ἀντὶ τῶν κωλακρετῶν οἱ ἀποδέκται ὑπὸ Κλεισθένους ἀπεδείχθησαν, Ἀνδροτίων ἐν τῷ δευτέρῳ (fr. 3).

Eadem ex parte Suidas s. v., Etym. M. p. 124, Zonaras p. 234. Cf. Aristot. Polit. VI, 5, 4; Bekker. Anecd. I, 98, 427; schol. ad Æschin. C. Ctesiphont. p. 252 ed. Bekk. Pollux VIII, 97 : Ἀποδέκται δὲ ἦσαν δέκα, οἳ τούς τε φόρους καὶ τὰς εἰσφορὰς καὶ τὰ τέλη ὑπεδέχοντο καὶ τὰ περὶ τούτων ἀμφισβητούμενα ἐδίκαζον. Εἰ δέ τι μεῖζον εἴη, εἰσῆγον εἰς δικαστήριον. Bœckh. *Staatsh.* I, p. 171 sqq.; Hermann. § 151, 14; Schœmann. p. 249.

51.

Idem : Πωληταὶ καὶ πωλητήριον. Οἱ μὲν πωληταὶ ἀρχή τίς ἐστιν Ἀθήνησι δέκα τὸν ἀριθμὸν ἄνδρες, εἷς ἐκ τῆς φυλῆς ἑκάστης· διοικοῦσι δὲ τὰ πιπρασκόμενα ὑπὸ τῆς πόλεως πάντα, τέλη καὶ μέταλλα καὶ μισθώσεις καὶ τὰ δημευόμενα. Ὑπερίδης ἐν τῷ κατ' Ἀρισταγόρας β'. Διείλεκται δὲ περὶ αὐτῶν καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ. Πωλητήριον δὲ καλεῖται ὁ τόπος, ἔνθα συνεδρεύουσιν οἱ πωληταί. Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου πολλάκις.

Eadem Suidas et Photius s. v., missa testium mentione. Pollux VIII, 99 : Πωληταὶ τὰ τέλη πιπράσκουσι μετὰ τῶν ἐπὶ τὸ θεωρικὸν ᾑρημένων, καὶ τὰς τῶν ἐξ Ἀρείου πάγου μετὰ τὸν πρότερον λόγον φυγόντων οὐσίας, καὶ τὰ δεδημευμένα. Πρυτανεύει δὲ ἐξ αὐτῶν εἷς, ὃς τὰ πωλούμενα βεβαιοῖ. Ἀπήγοντο δὲ πρὸς τούτους καὶ οἱ μετοίκιον μὴ τιθέντες. Bœckh. l. l. p. 167. Hermann. § 151. 115, 9.

52.

Idem : Εὔθυναι· Λυσίας ἐν τῷ κατὰ Νικιδίου, εἰ γνήσιος. Εὔθυνης (εὐθύνη A. B. C.) ὄνομα ἀρχῆς παρ' Ἀθηναίοις· ι' τὸν ἀριθμὸν ἦσαν ἄνδρες, παρ' οἷς ἐδίδοσαν οἱ πρεσβεύσαντες ἢ ἄρξαντες ἢ διοικήσαντές τι τῶν δημοσίων τὰς εὐθύνας. Διείλεκται περὶ αὐτῶν Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ.

50.

Ἀποδέκται, receptores, magistratus fuit apud Athenienses, cujus oratores et comici subinde meminerunt. Aristoteles vero in Rep. Atheniensium ostendit denos fuisse, qui acceptis tabulis publicis, nomina debitorum post pecuniæ solutionem, in senatu coram senatoribus delebant, tabulasque iterum ærario tradebant. Idem reliqua eorum munera quæ fuerint exponit. Ceterum apodectæ in locum colacretarum a Clisthene subrogati, ut Androtion libro secundo testatur.

51.

Πωληταὶ et πωλητήριον. Erant Athenis πωληταὶ certus quidam magistratus, decem numero viri, ex singulis tribubus unus : qui omnia quæ a civitate vendebantur administrabant, ut vectigalia, metalla, redempturas et quæ publicabantur. Hyperides in secunda adversus Aristagoram. De iisdem disseruit Aristoteles in Rep. Athen. Πωλητήριον vero appellatur locus, ubi πωληταὶ considere solent. Isæus in or. contra Elpagoram frequenter ejus meminit.

52.

Εὔθυναι. Lysias oratione adversus Nicidium, si genuina est. Nomen magistratus apud Athenienses fuit. Erant autem euthyni decem numero, apud quos qui legatione functi erant, aut magistratum gesserant, aut aliquid rerum publicarum administraverant, rationes reddebant. Disserit de iis Aristoteles in Rep. Atheniensium.

53.

Harpocration : Λογισταὶ καὶ λογιστήρια, ἀρχή τις παρ' Ἀθηναίοις οὕτω καλουμένη· εἰσὶ δὲ τὸν ἀριθμὸν ι', οἳ τὰς εὐθύνας τῶν διῳκημένων ἐκλογίζονται ἐν ἡμέραις λ', ὅταν τὰς ἀρχὰς ἀποθῶνται οἱ ἄρχοντες· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος (§ 117). Διείλεκται περὶ τούτων Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ, ἔνθα δείκνυται ὅτι διαφέρουσι τῶν εὐθυνῶν... Λογιστήρια δ' ἐστὶ τὰ τῶν λογιστῶν ἀρχεῖα, ὡς Δείναρχος ἐν τῷ κατὰ Τιμοκράτους καὶ Ἀνδοκίδης ἐν τῷ περὶ τῶν μυστηρίων (§ 37).

Diversos ab euthynis fuisse logistas hoc uno traditur loco Harpocrationis vel Aristotelis. Quare G. Hermannus (*Bœckh's Behandlung d. griech. Inschriften* p. 220 sqq.) ad Photium, Etym. M. et Zonaram v. Εὔθυναι provocans, aliaque argumenta petens ex numero, munere et electionis modo, quæ eadem sint apud utrosque, corruptum esse locum Harpocrationis, scribendumque οὐ διαφέρουσι censuit. At nihil esse mutandum, recteque Aristotelem distinxisse contra Hermannum docuit Bœckhius in *Rhein. Mus.* 1827, I, p. 58-97. Cf. idem *Staatshaushaltung d. Athen.* I, p. 204 sqq. C. Hermann. *Staatsalterth.* § 154; Schœmann. Antiq. jur. publ. p. 240; Westermann. in *Pauly's Realencycl.* v. Λογισταί.

54.

Lex. Rhetor. p. 672, 20 : Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ οὕτω λέγει· « Λογισταὶ δὲ αἱροῦνται δέκα, παρ' οἷς διαλογίζονται πᾶσαι αἱ ἀρχαὶ τά τε λήμματα καὶ τὰς γεγενημένας δαπάνας. Καὶ ἄλλοι δέκα συνήγοροι, οἵτινες συνανακρίνουσι τούτοις. Καὶ οἱ τὰς εὐθύνας διδόντες παρὰ τούτοις ἀνακρίνονται πρῶτον, εἶτα ἐφίενται εἰς τὸ δικαστήριον, εἰς ἕνα καὶ φ'.

Sic Meierus; libri : Καὶ ἄλλοις... συνηγόροις... συνανακρίνουσι... ἀνακρίνοντες. Siglo φ' in codice supra scriptum est α', quod pertinet ad vocem ἕνα Grashofius scribi voluit εἰς ,αφα' (1501).

Meierus ad h. l. : « Aristotelem in libro de rep. Atheniensium de logistis et euthynis ita disseruisse, ut euthynos diversos esse doceret ab logistis, constitit jam ex Harpocrat. v. Εὔθυναι et Λογισταί. Verum ipsa verba Aristotelis hic demum lexicographus promittit, neque vero stat promisso; nam quum Aristotelem eodem loco probabile sit tum de logistis et de euthynis, tum de euthynorum assessoribus atque de synegoris egisse, hic locus omissis euthynis et euthynorum paredris ad solos logistas et synegoros pertinet. Verum etsi non integer videtur locus esse, tamen vel sic quædam continet, quæ aliunde non didiceris. Primum enim quum Lex. Rhet. p. 276, 17, quocum ad verbum conspirat Etym. M. p. 569, 31, logistas *sortito* factos esse contendat (ἄρχοντές εἰσι κληρωτοί), reliqui autem grammatici de modo, quo illi facti sint, taceant omnino (nam quod Pollux VIII, 99 videbatur docere sortitione *ab senatu quingentorum* instituta logistas esse factos, id jam intelleximus esse nihili atque ex librariorum tantum Pollucis socordia ortum male ad logistas referentium, quod ille de ἀντιγραφεῦσι docuerit), nunc ex Aristotele discimus eos *suffragiis* creatos esse : λογισταὶ αἱροῦνται; Aristoteli autem quis dubitaverit plus tribuere quam incerto illi grammatico, cui Lex. Rhet. et Etym. M. sua debent? Hujus auctoritati satis erit tribuisse, si concesseris logistas antiquitus suffragiis, postea sorte factos esse. Jam vero, quod olim Bœckhius sola conjectura assecutus erat, apud logistas λογισμόν, id est rationes pecuniæ publicæ acceptæ et expensæ redditas esse, euthynos autem in reliquas muneris publici partes inquisivisse (cf. Bœckhii Comment. De logistis et euthynis p. 73), id jam Aristoteles eatenus certe confirmat, quod apud logistas ab omnibus magistratibus rationes acceptæ et expensæ pecuniæ redditas esse scribit. — Qui autem sequitur de synegoris locus, eum corruptum esse ex ipso initio apparet; fortasse scribendum est : δαπάνας· καὶ [τούτοις ἐβοήθουν] ἄλλοι [τε καὶ δὴ καὶ οἱ] δέκα συνήγοροι, οἵτινες συνανακρίνουσι τούτοις [τοὺς ὑπευθύνους]· καὶ [γὰρ] οἱ τὰς εὐθύνας διδόντες παρὰ τούτοις ἀνακρίνονται πρῶτον. Cf. Lex. Rhet. in Bekk. An. p. 301, 4 : Συνήγοροι ἄρχοντές ἦσαν κληρωτοί, οἳ τοῖς λογισταῖς ἐβοήθουν πρὸς τὰς εὐθύνας τῶν ἀρξάντων τινὰ ἀρχήν. Judicium autem, quod de euthynis magistratuum judicaverit, fuisse unius et quingentorum judicum, id vero etiam novum accedit, quod ex hoc demum loco discimus; cf. Schœmann. De lit. Attic. p. 136. »

---

53.

Λογισταί et λογιστήρια. Logistæ magistratus quidam apud Athenienses. Decem erant, qui rationes rerum administratarum subducebant intra triginta dierum spatium postquam magistratus munere decesserant. Demosthenes in oratione contra Ctesiphontem. Disserit de iis Aristoteles in Rep. Athen., ubi demonstratur logistas diversos esse ab euthynis. Logisteria vero sunt curiæ logistarum, ut Dinarchus in or. contra Timocratem et Andocides or. de mysteriis.

54.

Aristoteles in Rep. Athen. ita loquitur : « Logistæ suffragiis creantur decem, apud eosque rationes pecuniæ acceptæ et expensæ a magistratibus reddebantur. Adjunctos habebant decem synegoros sive assessores, qui cum logistis rationes ipsis subjectas examinabant. Apud hos igitur primum rationes magistratus reddebant, deinde (si expurgare se non poterant) ab iisdem deducebantur in judicium quod erat virorum unius et quingentorum. »

55.

Schol. Aristoph. Vesp. 691 : Ἐλάμβανον οἱ ῥήτορες δραχμήν, ὅτε συνηγόρουν ὑπὲρ τῆς πόλεως ἢ ὑπὲρ ἄλλου τινός. Ἐκ τούτου δὲ φαίνεται ὅτι μισθοφόρος ἦν ἡ ἀρχή. Κληρωτοὺς δὲ γενομένους δέκα συνηγόρους Ἀριστοτέλης φησίν. Non eos tamen συνηγόρους intellige de quibus scholiasta h. l. loquitur (hi enim χειροτονητοί), sed eos de quibus Bekk. Anecd. I, 301 : Συνήγοροι ἄρχοντες ἦσαν κληρωτοί, οἳ τοῖς λογισταῖς ἐβοήθουν πρὸς τὰς εὐθύνας τῶν ἀρξάντων τινὰ ἀρχήν. Cf. fr. antecedens.

56.

Harpocration : Ἵππαρχος.. Λέγεται δὲ παρ' Ἀθηναίοις ἵππαρχος καὶ ὁ τῶν ἱππέων ἄρχων· δύο δ' ἦσαν οὗτοι, ὡς Δημοσθένης ἐν δ' Φιλιππικῶν φησὶ καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

57.

Idem : Φύλαρχός ἐστιν ὁ κατὰ φυλὴν ἑκάστην τοῦ ἱππικοῦ ἄρχων, ὑποτεταγμένος δὲ τῷ ἱππάρχῳ, ὡς Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ φησί. Cf. Pollux VIII, 87. Hermann. 152, 2; Schœmann. p. 256.

58.

Idem : Στρατηγοί. Οἱ καθ' ἕκαστον ἐνιαυτὸν χειροτονούμενοι στρατηγοὶ δέκα ἦσαν, ὡς μαθεῖν ἔστιν... ἐκ τῆς Ἀθηναίων πολιτείας Ἀριστοτέλους.

59.

Idem : Στρατεία ἐν τοῖς ἐπωνύμοις. Αἰσχίνης ἐν τῷ περὶ τῆς παραπρεσβείας (§ 168). Τίς ἦν ἡ ἐν τοῖς ἐπωνύμοις στρατεία, δεδήλωκεν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ λέγων· « Εἰσὶ γὰρ ἐπώνυμοι δέκα μὲν οἱ τῶν φυλῶν, δύο δὲ καὶ τεσσαράκοντα οἱ τῶν ἡλικιῶν. Οἱ δὲ ἔφηβοι ἐγγραφόμενοι, πρότερον μὲν εἰς λελευκωμένα γραμματεῖα ἐνεγράφοντο, καὶ ἐπεγράφοντο αὐτοῖς ὅ τε ἄρχων, ἐφ' οὗ ἐνεγράφησαν, ὁ καὶ ἐπώνυμος ὁ τῷ προτέρῳ ἔτει λελειτουργηκώς· νῦν δὲ εἰς τὴν βουλὴν ἀναγράφονται. » Καὶ μετ' ὀλίγα· « Χρῶνται δὲ τοῖς ἐπωνύμοις καὶ πρὸς τὰς στρατείας, καὶ ὅταν ἡλικίαν ἐκπέμπωσι, προγράφουσι ἀπὸ τίνος ἄρχοντος ἐπωνύμου μέχρι τίνος δεῖ στρατεύεσθαι. » Διείλεκται περὶ τούτων καὶ Φιλόχορος ἐν δ' τῆς Ἀτθίδος.

λελειτουργηκὼς ex conj. Kayseri ad Philostrat. non notavi quo loco. δεδειχτικῶς B. D., δεδειχτικῶς G., δὲ δειχτικῶς A.C.; δεδιητηκὼς Gæsiana. ἐπιδεδημηκὼς in edit. Blancardiana. Priorem loci partem accuratius præbet Harpocrat. v. Ἐπώνυμοι : Διττοί εἰσιν οἱ ἐπώνυμοι, οἱ μὲν ι' τὸν ἀριθμόν, ἀφ' ὧν αἱ φυλαί, ἕτεροι δὲ β' καὶ μ', ἀφ' ὧν αἱ ἡλικίαι προσαγορεύονται τῶν πολιτῶν καθ' ἕκαστον ἔτος, ἀπὸ ιη' ἐτῶν μέχρις ξ'. Ceterum vid. Bœckh. Index lectt. Lib. Berolin. 1819—20, p. 7 sqq.; C. Inscrr. I, p. 113, 156; Schœmann. l. l. p. 254; Hermann. § 152, 13; Siebelis ad Philochor. p. 42.

60.

Harpocration : Ἀδύνατοι, οἱ ἐντὸς τριῶν μνῶν κεκτημένοι τὸ σῶμα πεπηρωμένον (adde ἔχοντες, vel scr. πεπηρωμένοι). Ἐλάμβανον δὲ οὗτοι δοκιμασθέντες ὑπὸ τῆς βουλῆς β' ὀβολοὺς τῆς ἡμέρας ἑκάστης, ἢ ὀβολόν, ὥς φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ, ὡς δὲ Φιλόχορός (fr. 67) φησιν, θ' δραχμὰς κατὰ μῆνα.

Cod. E : κεκτημένοι οἱ πεπηρωμένοι τὸ σῶμα... βουλῆς οἱ μέν φασιν ἑκάστης ἡμέρας ὀβολοὺς δύο, οἱ δὲ ὀβολόν. Apud Zonaram s. v. : ἐλάμβανον... οἱ μὲν ἐφ' ἑκάστης ἡμέρας ὀβολοὺς δύο, οἱ δὲ ὀβολόν.

Suidas : Ἀδύνατοι, οἱ πεπηρωμένοι τὸ σῶμα· ἐλάμβανον δὲ οὗτοι δοκιμασθέντες ἀπὸ τῆς βουλῆς (τῶν πενταχοσίων ex seqq. addit Bernhardy.) οἱ μὲν [πενταχόσιοι] ἑκάστης ἡμέρας ὀβολοὺς δύο, οἱ δὲ ὀβολόν. Φιλόχορος κτλ., ut ap. Harp. Eadem Zonaras p. 42, Favorinus et Hesych. — Bekker. An. I, p. 345 : Ἀδύνατοι, οἱ μέρος τι βεβλαμμένοι τοῦ σώματος, ὡς μηδὲ ἐργάζεσθαι· οἳ καὶ ἐχορηγοῦντο τὰ πρὸς

---

55.

Aristoteles decem (logistarum) assessores sorte legi dicit.

56.

Hipparchi sive equitum præfecti duo erant apud Athenienses, ut Demosthenes in Philippica quarta dicit et Aristoteles in Athen. Rep.

57.

Phylarchus, qui suæ tribus equitatui præfectus est, subditus erat Hipparcho, ut Aristoteles in Rep. Athen. dicit.

58.

Imperatores quoque anno eligebantur decem, ut discere est ex Aristotelis Rep. Athen.

59.

Militia in Eponymis, cujus meminit Æschines in oratione De falsa legatione, quid sit declarat Aristoteles in Rep. Athen. inquiens : « Eponymorum duo sunt genera : nam decem numero sunt tribuum; duo et quadraginta sunt ætatum. Ephebi vero, antea quidem in albo inscribebantur ac notabatur archon anni, quo inscriberentur, et eponymus anni antecedentis; nunc vero in senatu inscribuntur. » Et paullo post : « Utuntur autem eponymis etiam ad militiam, et quum juventutem emittunt, a quo archonte eponymo usque ad quem stipendia merere oporteat adscribunt. » Disserit de his etiam Philochorus Atthidis libro quarto.

60.

Invalidi, intra tres minas possidentes et corpore mutilati. Hi a senatu approbati vel duos obolos vel unum obolum quotidie accipiebant, ut Aristoteles in Rep. Athen. ait.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

SAVE $3,999,994

Did you know we sell paperback books too?

To buy our entire catalog in paperback would cost over $4,000,000

Access it all now for $8.99/month

*Fair usage policy applies

Continue

κληρωταί τε ἦσαν ἐκ παλαιοῦ καὶ δι' αὐτῶν οἱ δοκιμασθέντες ἀνέβαινον εἰς Ἄρειον πάγον. Διὸ καὶ μᾶλλον ἰσχύσας ὁ Περικλῆς ἐν τῷ δήμῳ κατεστασίασε τὴν βουλὴν, ὥστε τὴν μὲν ἀφαιρεθῆναι τὰς πλείστας κρίσεις δι' Ἐφιάλτου, Κίμωνα δ' ὡς φιλολάκωνα καὶ μισόδημον ἐξοστρακισθῆναι, πλούτῳ μὲν καὶ γένει μηδενὸς ἀπολειπόμενον, νίκας δὲ καλλίστας νενικηκότα τοὺς βαρβάρους καὶ χρημάτων πολλῶν καὶ λαφύρων ἐμπεπληκότα τὴν πόλιν.

Demonides hic idem cum Damonide, Damonis (musici) patre, quem Ὀαθεν esse dicit Stephan. Byz. s. v. Ὄα. Confusio demorum Οἴης et Ὄης facillima; v. Sintenis ad l. Plut. Ceterum cf. Aristot. Pol. II, 9, 3.

67.

Plutarch. Pericl. 10 : Ἐφιάλτην μὲν οὖν φοβερὸν ὄντα τοῖς ὀλιγαρχικοῖς καὶ περὶ τὰς εὐθύνας καὶ διώξεις τῶν τὸν δῆμον ἀδικούντων ἀπαραίτητον ἐπιβουλεύσαντες οἱ ἐχθροὶ δι' Ἀριστοδίκου τοῦ Ταναγρικοῦ, κρυφαίως ἀνεῖλον, ὡς Ἀριστοτέλης εἴρηκεν. Ignorari cædis auctores dicunt Antiphon De cæde Herodis § 77, et Diodorus XI, 77.

Idem ibid. c. 28 de Periclis in Samios crudelitate nihil tradere Aristotelem dicit, quod Plutarchus monet contra Duridem (fr. 60); idem c. 26 Periclem a Melisso prœlio navali victum ex Aristotele narrat. V. Resp. Samiorum.

68.

Schol. Aristoph. Vesp. 684 : Τοῦτο δὲ (sc. τὸ δικαστικόν) ἄλλοτε ἄλλως ἐδίδοτο, τῶν δημαγωγῶν τὰ πλήθη κολακευόντων, ὥς φησιν Ἀρ. ἐν Πολιτείαις. — Cf. schol. ad Plut. 329 : Οὐχ ἵστατο τοῦ δικαστικοῦ ὁ μισθὸς, ἀλλὰ κατὰ καιρὸν μετέβαλλον. Cf. schol. Ran. 140, Av. 1541, Vesp. 88. 300. 609 etc. Aristot. Polit. IV, 4, 5; V, 9, 3. Bœckh. *Staatsh.* I, p. 250; Hermann. § 134, 19; Schœmann. p. 310.

69.

Zenob. VI, 29 : Ὑπὲρ τὰ Καλλικράτους· Κλέαρχό; φησιν ὅτι Καλλικράτης τις ἐγένετο ἐν Καρύστῳ πλουσιώτατος. Εἴ ποτε ἐθαύμαζόν τινα οἱ Καρύστιοι ἐπὶ πλούτῳ ὑπερβολικῷ, ἔλεγον, Ὑπὲρ τὰ Καλλικράτους. Ἀριστοτέλης δέ φησιν ἐν τῇ Ἀθηναίων πολιτείᾳ, Καλλικράτην τινὰ πρῶτον τῶν δικαστῶν τοὺς μισθοὺς εἰς ὑπερβολὴν αὐξῆσαι· ὅθεν καὶ τὴν παροιμίαν εἰρῆσθαι.

Eadem Diogenian. VIII, 62, Apostol. XIX, 86, Plutarch. Prov. 111, Arsen. 458, Suidas, Photius.

70.

Plutarch. Nicias c. 2 : Ἔνεστιν οὖν περὶ Νικίου πρῶτον εἰπεῖν ὃ γέγραφεν Ἀριστοτέλης, ὅτι τρεῖς ἐγένοντο βέλτιστοι τῶν πολιτῶν καὶ πατρικὴν ἔχοντες εὔνοιαν καὶ φιλίαν πρὸς τὸν δῆμον, Νικίας ὁ Νικηράτου καὶ Θουκυδίδης ὁ Μελησίου καὶ Θηραμένης ὁ Ἄγνωνος.

70 *a*.

Schol. ad. Lucian. Tim. c. 30 : Ἐπέστη Κλέων καὶ τῇ πρὸς Λακεδαιμονίους εἰρήνῃ, ὡς Φιλόχορος καὶ Ἀριστοφάνης, προσθεὶς ἄρχοντα Εὔθυνον (Ol. 88, 3). Ἀριστοτέλης δὲ καὶ περιζωσάμενον αὐτὸν λέγει δημηγορῆσαι, εἰς τὴν θρασύτητα αὐτοῦ ἀποσκώπτων.

Quæ Hemsterhusio et Siebelisio (v. Philochor. fr. 106) ita transponenda videbantur : ὡς Φιλ. προσθεὶς ἀρχ. Ε. καὶ Ἀριστοτέλης. Ἀριστοφάνης κ. τ. λ. Istud προσθεὶς ad Philochorum pertinere largior. Nominum transpositionem ne certam dicam, sequens obstat fragmentum parile. Schol. Luc. ob oculos habuerit commentatorem Aristophanis. Pro Euthyno (v. Clinton. ad Ol. 88, 3) exspectabas Stratoclem (Ol. 88, 4).

---

sacrorum, neque polemarchus sorte erat lectus; nam hi magistratus sorte antiquitus obveniebant, ac qui se in iis obeundis probassent, ii in senatum Areopagiticum cooptabantur. Ceterum populi auxilio Pericles senatum istum factione sua vicit effecitque opera Ephialtis, ut ei major pars judiciorum adimeretur, Cimonque tanquam Lacedæmoniorum fautor, et infensus populo, ostracismo urbe exigeretur : qui et divitiis et genere nemini secundus, victorias de barbaris pulcherrimas reportaverat, urbemque magna pecuniæ et spoliorum copia repleverat.

67.

Aristoteles auctor est Ephialti, quod esset iis qui paucorum in republica principatui studebant, formidabilis, inque eorum qui plebem læsissent criminibus deferendis nimis rigidus, inimicos insidias struxisse opera Aristodici Tanagræi clam occidisse.

68.

Merces judicialis aliis temporibus alia dabatur, demagogis populi benevolentiam blandiendo captantibus, ut Aristoteles in opere de Rebus publicis.

69.

Aristoteles in Athen. Rep. dicit Callicratem quendam primum judicum mercedem immodice auxisse, indeque ortum proverbium *Ultra quam Callicrates*.

70.

De Nicia primum commemorare licet, quod scripsit Aristoteles; nimirum tres ait optimos fuisse cives patriæ amore et in populum benevolentia insignes, Niciam Nicerati, Thucydidem Melesii et Theramenem Agnonis filium.

70 *a*.

Obstitit Cleon, ne pax cum Lacedæmoniis fieret, ut Philochorus ait. Aristophanes et Philochorus factum id esse memorant sub archonte Euthyno. Aristoteles etiam præcinctum in concione dixisse ait, temeritatem ejus notans.

71.

Schol. Aristoph. Ran. 1532 : Ἀριστοτέλης φησὶ, Μετὰ τὴν ἐν Ἀργινούσαις ναυμαχίαν Λακεδαιμονίων βουλομένων ἐκ Δεκελείας ἀπιέναι ἐφ' οἷς ἔχουσιν ἑκάτεροι καὶ εἰρήνην ἄγειν (ἐπὶ τοῦ Καλλίου), Κλεοφῶν ἔπεισε τὸν δῆμον μὴ προσδέξασθαι, ἐλθὼν εἰς τὴν ἐκκλησίαν μεθύων καὶ θώρακα ἐνδεδυκὼς, οὐ φάσκων ἐπιτρέψειν ἐὰν μὴ πάσας ἀφῶσι τὰς πόλεις οἱ Λακεδαιμόνιοι. Verba ἐπὶ τοῦ Καλλίου (Ol. 93, 3. 406) aptius ponerentur post μετὰ τὴν ἐν Ἀργ. μάχην, monente Cobet. Observ. crit. in Platon. com. p. 168, quem laudat Dübnerus ad h. l.

[Arist. Pol. V, 2, 8 : Καὶ ἐν Ἀθήναις ἀτυχούντων πεζῇ οἱ γνώριμοι ἐλάττους ἐγίνοντο διὰ τὸ ἐκ καταλόγου στρατεύεσθαι ὑπὸ τὸν Λακωνικὸν πόλεμον.]

72.

Harpocration v. Δεκάζων : Ἀριστοτέλης δ' ἐν Ἀθηναίων πολιτείᾳ Ἄνυτόν φησι καταδεῖξαι τὸ δεκάζειν τὰ δικαστήρια. Cf. Meier. et Schœmann. l. l. p. 150; Hermann. § 163, 8. 169, 1.

73.

Harpocration v. Τετρακόσιοι : Οἱ τετρακόσιοι πρὸ ἑπτὰ ἐτῶν κατέστησαν τῶν τριάκοντα τυράννων παρ' Ἀθηναίοις, οἵτινες τέτταρας μῆνας ἦρξαν τῆς πόλεως, ὥς φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

Eadem Photius et Suidas s. v. — πρὸ ἑπτὰ ἐτῶν ] sic cod. N.; πρὸς ἑπτὰ cett. Cf. Clinton. F. H. ad an. 411. Krüger. Historiogr. p. 362 sqq. Hermann. 166.

[Arist. Pol. V. 3, 8 : Ἐπὶ τῶν τετρακοσίων τὸν δῆμον ἐξηπάτησαν (sc. οἱ τὴν πολιτείαν κινεῖν βουλόμενοι) φάσκοντες τὸν βασιλέα χρήματα παρέξειν πρὸς τὸν πόλεμον τὸν πρὸς Λακεδαιμονίους, ψευσάμενοι δὲ κατέχειν ἐπειρῶντο τὴν πολιτείαν. — Pol. V, 5, 4 : Ἐγγίνεται δημαγωγὸς κἂν πάνυ ὀλίγοι ὦσιν, οἷον ἐν τοῖς τριάκοντα Ἀθήνησιν οἱ περὶ Χαρικλέα ἴσχυσαν τοὺς τριάκοντα δημαγωγοῦντες, καὶ ἐν τοῖς τετρακοσίοις οἱ περὶ Φρύνιχον τὸν αὐτὸν τρόπον.]

74.

Schol. Aristophan. Vesp. : Δρακοντίδης· ἔστι γὰρ οὗτος ὁ τὸ περὶ τῶν τριάκοντα ψήφισμα περὶ ὀλιγαρχίας γράψας, ὡς Ἀριστοτέλης ἐν Πολιτείαις. Cf. Xenophon. Hist. Gr. II, 3, 2. Hermann. 168, 5.

## ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ.

75.

Schol. Pindar. Isthm. VII, 18 : Εἰσὶν Αἰγεῖδαι φρατρία Θηβαίων, ἀφ' ἧς ἧκόν τινες εἰς Σπάρτην, Λακεδαιμονίοις βοηθήσοντες ἐν τῷ πρὸς Ἀμυκλαιεῖς πολέμῳ, ἡγεμόνι χρησάμενοι Τιμομάχῳ, ὃς πρῶτος μὲν πάντα τὰ πρὸς πόλεμον διέταξε Λακεδαιμονίοις, μεγάλων δὲ παρ' αὐτοῖς ἠξιώθη τιμῶν, καὶ τοῖς Ὑακινθίοις δὲ ὁ χάλκεος αὐτῷ θώραξ προτίθεται, τοῦτον δὲ Θηβαῖοι ὅπλον ἐκάλουν. Ταῦτα ἱστορεῖ καὶ Ἀριστοτέλης ἐν τῇ Λακεδαιμονίων Πολιτείᾳ.

Ἀριστοτέλης φησὶν ὅτι πολεμοῦντες οἱ Λάκωνες Ἀμυκλαιεῦσιν, ὡς ἐπύθοντο παρὰ θεοῦ τοὺς Αἰγεΐδας συμμάχους λαβεῖν, εἰς Ἀθήνας ἐπορεύοντο· καταλύσαντες δὲ ἐν Θήβαις, εὐωχουμένης τῆς τῶν Αἰγειδῶν φρατρίας ἐκλήθησαν· ἀκούσαντες δὲ μετὰ δεῖπνον εὐχομένου τοῦ ἱερέως διδόναι τοῖς Αἰγεΐδαις τοὺς θεοὺς τὰ ἀγαθὰ, καὶ συμβαλόντες τὸν χρησμὸν, ἐντεῦθεν ἔλαβον τὴν συμμαχίαν.

Plura de his narrat Ephorus (fr. 11 et 13) ap. schol. Pind. Pyth. V, 101. Ceterum veram gentis

---

71.

Aristoteles dicit post prœlium navale ad Arginusas sub Callia archonte commissum quum Lacedæmonii Decelea excedere vellent ea conditione, ut retinerent utrique quæ jam possiderent, et pacem agere, Cleophon populo suasit ne has conditiones admitterent, ebrius et loricatus in concionem veniens, jactansque minime se ut Decelea decedant Lacedæmonii concessurum, nisi reliquas quoque urbes universas Atheniensibus reddiderint.

72.

Aristoteles in Atheniensium Rep. ait Anytum corrumpendorum judiciorum auctorem fuisse.

73.

Quadringenti apud Athenienses septem annis ante triginta tyrannos constituti fuere, qui menses quattuor civitati præfuerunt, ut tradit Aristoteles in Rep. Atheniensium.

[Temporibus quadringentûm virûm populum deceperunt, quum dicerent, regem Persarum pecuniam ad bellum cum Lacedæmoniis susceptum suppeditaturum, et per hoc mendacium rempublicam retinere in sua potestate conati sunt. — Exsistit enim demagogus etiam si pauci admodum sint quibus blandiatur : verbi gratia, Athenis in triginta viris Charicles cum asseclis viguit ac valuit, dum triginta viris assentabatur : et in quadringentis Phrynichus eodem modo.]

74.

Dracontides decretum de triginta virorum dominatione scripsit, ut tradit Aristoteles in opere de Rebuspublicis.

## LACEDÆMONIORUM.

75.

Ægidæ, gens Thebanorum; ex qua nonnulli Spartam venerunt, ut Lacedæmoniis opitularentur in bello contra Amyclæenses. Ducem Ægidæ isti habuerunt Timomachum, qui primus omnia quæ ad bellum pertinent Lacedæmoniis ordinavit; quapropter magnis apud eos affectus est honoribus. Hyacinthiis festo æneus ei thorax publice exponitur, quem ὅπλον Thebani κατ' ἐξοχὴν vocabant. Narrat hæc Aristoteles in Rep. Lacedæmoniorum.

Aristoteles dicit Lacedæmonios contra Amyclæenses bellum gerentes, quum oraculo edocti essent Ægidas socios ipsis assumendos esse, primum profectos esse Athenas,

Ægidarum rationem hisce Lacedæmoniorum narrationibus vel Pindari ætate valde obscuratam esse fusius exponit O. Müller. *Min.* 351 sqq., *Dor.* I, 61. 354, quem semel in Rep. Lacedæmoniorum laudasse sufficiat.

76.

Plutarchus Lyc. c. 1, 1 : Περὶ Λυκούργου τοῦ νομοθέτου καθόλου μὲν οὐδὲν ἔστιν εἰπεῖν ἀναμφισβήτητον, οὗ γε καὶ γένος καὶ ἀποδημία καὶ τελευτὴ καὶ πρὸς ἅπασιν ἡ περὶ τοὺς νόμους αὐτοῦ καὶ τὴν πολιτείαν πραγματεία διαφόρους ἔσχηκεν ἱστορίας, ἥκιστα δὲ οἱ χρόνοι, καθ' οὓς γέγονεν ὁ ἀνὴρ, ὁμολογοῦνται. Οἱ μὲν γὰρ Ἰφίτῳ συνακμάσαι καὶ συνδιαθεῖναι τὴν Ὀλυμπιακὴν ἐκεχειρίαν λέγουσιν αὐτόν· ὧν ἐστι καὶ Ἀριστοτέλης ὁ φιλόσοφος τεκμήριον προσφέρων τὸν Ὀλυμπίασι δίσκον, ἐν ᾧ τοὔνομα τοῦ Λυκούργου διασώζεται καταγεγραμμένον. Potuerunt hæc etiam in Olympionicis legi.

77.

Idem ib. 31, 3 : Ὁ δὲ (sc. Λυκοῦργος) οὐ γράμματα καὶ λόγους, ἀλλ' ἔργῳ πολιτείαν ἀμίμητον εἰς φῶς προενεγκάμενος καὶ τοῖς ἀνύπαρκτον εἶναι τὴν λεγομένην περὶ τὸν σοφὸν διάθεσιν ὑπολαμβάνουσιν ἐπιδείξας ὅλην τὴν πόλιν φιλοσοφοῦσαν, εἰκότως ὑπερῆρε τῇ δόξῃ τοὺς πώποτε πολιτευσαμένους ἐν τοῖς Ἕλλησι. Δι' ὅπερ καὶ Ἀριστοτέλης ἐλάττονας σχεῖν φησι τιμὰς ἢ προσῆκον ἦν αὐτὸν ἔχειν ἐν Λακεδαίμονι, καίπερ ἔχοντα τὰς μεγίστας· ἱερόν τε γάρ ἐστιν αὐτοῦ καὶ θύουσι καθ' ἕκαστον ἐνιαυτὸν ὡς θεῷ.

78.

Idem ib. 5, 9 : Αἰωρουμένη γὰρ ἡ πολιτεία καὶ ἀποκλίνουσα νῦν μὲν ὡς τοὺς βασιλεῖς ἐπὶ τυραννίδα, νῦν δὲ ὡς τὸ πλῆθος ἐπὶ δημοκρατίαν, οἷον ἕρμα τὴν τῶν γερόντων ἀρχὴν ἐν μέσῳ θεμένη καὶ ἰσορροπήσασα, τὴν ἀσφαλεστάτην τάξιν ἔσχε καὶ κατάστασιν· ἀεὶ τῶν ὀκτὼ καὶ εἴκοσι γερόντων τοῖς μὲν βασιλεῦσι προστιθεμένων, ὅσον ἀντιβῆναι πρὸς δημοκρατίαν, αὖθις δὲ ὑπὲρ τοῦ μὴ γενέσθαι τυραννίδα τὸν δῆμον ἀναρρωννύντων. Τοσούτους δέ φησι κατασταθῆναι τοὺς γέροντας Ἀριστοτέλης, ὅτι τριάκοντα τῶν πρώτων μετὰ Λυκούργου γενομένων, δύο τὴν πρᾶξιν ἐγκατέλιπον ἀποδειλιάσαντες. Ὁ δὲ Σφαῖρος ἐξ ἀρχῆς φησὶ τοσούτους γενέσθαι τοὺς τῆς γνώμης μετασχόντας.

79.

Id. ib. 6, 2. Lycurgo Pythia jubet : « Διὸς Ἑλλανίου καὶ Ἀθανᾶς Ἑλλανίας ἱερὸν ἱδρυσάμενον, φυλὰς φυλάξαντα καὶ ὠβὰς ὠβάξαντα, τριάκοντα γερουσίαν σὺν ἀρχαγέταις καταστήσαντα, ὥρας ἐξ ὥρας ἀπελλάζειν μεταξὺ Βαβύκας τε καὶ Κνακιῶνος, καὶ οὕτως εἰσφέρειν τε καὶ ἀφίστασθαι· δάμῳ δὲ κυρίαν ἦμεν καὶ κράτος. » Ἐν τούτοις τὸ μὲν φυλὰς φυλάξαι καὶ ὠβὰς ὠβάξαι διελεῖν ἐστι καὶ κατανεῖμαι τὸ πλῆθος εἰς μερίδας, ὧν τὰς μὲν φυλὰς, τὰς δὲ ὠβὰς προσηγόρευκεν. Ἀρχαγέται δὲ οἱ βασιλεῖς λέγονται. Τὸ δὲ ἀπελλάζειν ἐκκλησιάζειν· ὅτι τὴν ἀρχὴν καὶ τὴν αἰτίαν τῆς πολιτείας εἰς τὸν Πύθιον ἀνῆψε. Τὴν δὲ Βαβύκαν καὶ τὸν Κνακιῶνα νῦν Οἰνοῦντα προσαγορεύουσιν· Ἀριστοτέλης δὲ τὸν μὲν Κνακιῶνα ποταμὸν, τὴν δὲ Βαβύκαν γέφυ-

---

deinde Thebis, quo deverterant, ad convivium gentis Ægidarum invitatos esse; ibi quum post cœnam sacerdotem audiissent, precantem ut Ægidis bona dii darent, oraculi sensu perspecto, hinc socios sibi arcessivisse.

76.

Nihil omnino, quod non in dubium vocetur, de Lycurgi legislatoris vita dici potest. Nam quum de genere, peregrinatione, obituque ejus, prætereа de legum ejus ac reipublicæ institutione diversæ narrationes extant : tum vero quo tempore vixerit, minime omnium in confesso est. Alii enim Iphiti temporibus claruisse, eumque in Olympiacis feriis instituendis adjuvisse tradunt ; estque hujus sententiæ etiam Aristoteles philosophus, indicii loco discum Olympicum adducens, in quo nomen Lycurgi incisum adhuc exstet.

77.

Lycurgus non libros de republica, sed re ipsa civitatem nulla imitatione æquandam protulit in lucem : atque iis qui opinantur virum sapientem non re vera exstare posse, ob oculos posuit totam urbem sapientiæ studio occupatam ; quare merito omnibus illis, qui unquam apud Græcos rempublicam attigerunt, gloria longe anteponitur. Ideoque et Aristoteles ait minores eum apud Spartanos, quam quos par erat, honores adeptum, quum sit quidem ornatus maximis. Templum enim ei positum est, sacrificaturque ipsi quotannis tanquam deo.

78.

Nam respublica fluctuans ac nunc apud reges ad tyrannidem, nunc apud multitudinem ad populare imperium vergens, senatu quasi saburra interjecto, æquo momento utrinque divisa tutissimam adepta est ordinationem : quum octo et viginti senes semper in eo regibus auxilio sint, ne ad populum summa rerum deferatur; rursusque populum corroborent, ne ad tyrannidem res deveniat. Numeri autem eam rationem Aristoteles affert, quod quum Lycurgus triginta instituisset, duo ex his præ metu ordinem deseruerint. At Sphærus initio tantum octo et viginti fuisse ait qui sententiam dicerent.

79.

« Jovis Hellanii et Minervæ Hellaniæ templum ædificet ; populum in phylas et obas dividat, triginta senatores cum archagetis constituat : subinde inter Babycem et Cnacionem concionem populi convocet, itaque de rebus referat aut antiquet; populo autem jussus erit et auctoritas. » Illis oraculi verbis φυλὰς φυλάξαι et ὠβὰς ὠβάξαι significat dividere et distribuere populum in partes, quarum alteras φυλὰς, alteras ὠβὰς appellant : reges autem Archagetæ dicuntur, quasi duces : et concionem habere Græce hic exprimitur ἀπελλάζειν, propterea quod ad Apollinem Pythium reipublicæ initium et causam referebat. Babycam et Cnacionem, Œnuntem hodie nominant : Aristoteles vero Cna-

bosii in *Jahns Jahrb.* 1829, II, p. 275, qui eos τὸ ἄγημα τῆς πρώτης μόρας (Xen. R. Lac. 13, 6) constituisse censet. Verendum tamen ne aliena auctor Photii miscuerit. Certe Thucydides (V, 72) non de Lacedæmoniorum, sed de Argivorum quinque lochis loquitur. Müllerus *Dor.* II, p. 238, λόχους eosdem habet cum μόραις.

85.

Plutarch. Cleomen. c. 9: Ἔστι δὲ Λακεδαιμονίοις οὐ Φόβου μόνον, ἀλλὰ καὶ Θανάτου καὶ Γέλωτος καὶ τοιούτων ἄλλων παθημάτων ἱερά. Τιμῶσι δὲ τὸν Φόβον, οὐχ ὥσπερ οὓς ἀποτρέπονται δαίμονας, ἡγούμενοι βλαβερὸν, ἀλλὰ τὴν πολιτείαν μάλιστα συνέχεσθαι φόβῳ νομίζοντες. Διὸ καὶ προεκήρυττον οἱ ἔφοροι τοῖς πολίταις εἰς τὴν ἀρχὴν εἰσιόντες, ὡς Ἀριστοτέλης φησὶ, κείρεσθαι τὸν μύστακα καὶ προσέχειν τοῖς νόμοις, ἵνα μὴ χαλεποὶ ὦσιν αὐτοῖς, τὸ τοῦ μύστακος, οἶμαι, προτείνοντες, ὅπως καὶ περὶ τὰ μικρότατα τοὺς νέους πειθαρχεῖν ἐθίζωσι. Cf. Müller. *Dor.* II, p. 125 sq.; Plutarch. De sera num. vind. c. 4, p. 550.

86.

Schol. Aristophan. Acharn. 320: Ἀριστοτέλης δέ φησιν ἐν Λακεδαιμονίων πολιτείᾳ χρῆσθαι Λακεδαιμονίους φοινικίδι πρὸς τοὺς πολέμους, τοῦτο μὲν ὅτι τὸ τῆς χρόας ἀνδρικὸν, τοῦτο δὲ ὅτι τὸ τοῦ χρώματος αἱματῶδες τῆς τοῦ αἵματος ῥύσεως ἐθίζει καταφρονεῖν. Cf. schol. in Pac. 1173.

Mœris Atticist.: Φοινικίς, ἔνδυμα Λακωνικὸν, ὁπότε εἰς πόλεμον ἴοιεν, διὰ τὸ ὁμοχροεῖν τῷ αἵματι. Ἀριστοτέλης ἐν πολιτείᾳ λέγει (adde Λακεδαιμονίων).

Cf. Suidas v. Φοινικίδα et Καταξαίνειν. Ælian. V. H. VI, 6; Valer. Max. II, 6; Plutarch. Institt. Lacon. 24. Purpuræ copiam suppeditavit Cythera insula: de qua Stephanus v. Κύθηρα: Ἐκαλεῖτο δὲ Πορφυροῦσσα διὰ τὸ κάλλος τὸ παρὰ τῶν πορφυρῶν (διὰ τὸ καλλίστας ἔχειν πορφύρας Eustath. ad. Dion. 499 et ad Odyss. O, 432, e Stephano), ὡς Ἀριστοτέλης. Cf. Plinius IV, 12: *In Laconico Taganussa, Cothon, Cythera cum oppido, antea Porphyris appellata.*

Post locum Aristotelis de sagis purpureis Laced. Neumannus ponit hæc ex Ammonio De diff. verb. v. Χλαμύς: Χλαμὺς καὶ χλαῖνα διαφέρει· ἡ μὲν γὰρ χλαῖνα τετράγωνον ἱμάτιον· ἡ δὲ χλαμὺς εἰς τέλειον περὶ τὰ κάτω συνῆκται· καὶ τοὺς χρησαμένους (sc. scriptores istis vocibus utentes) πολὺ καὶ ἀπ' ἀλλήλων διεστάναι προσάγεται (sc. Δίδυμος) Ἀριστοτέλην. Hæc ex Politiis petita esse negaverim cum Grashofio (in *Jahns Jahrb.* 1829, II, p. 161), qui locum refert ad Ἀπορήματα Homerica, collato schol. Il. B, 183. Fortasse pro Ἀριστοτέλης reponendum Ἀρίσταρχος.

87.

Eustathius ad Il. I, 129 p. 741, 16 R.: .. Αἴλιον Διονύσιον, ὃς καὶ τὸν τῆς παροιμίας Λέσβιον ᾠδὸν Τέρπανδρόν φησι ἢ Εὐαινετίδην ἢ Ἀριστοκλείδην· καὶ Ἀριστοτέλης ἐν τῇ Λακεδαιμονίων πολιτείᾳ τὸ Μετὰ Λέσβιον ᾠδὸν τὸν Τέρπανδρόν φησι δηλοῦν. Ἐκαλοῦντο δὲ, φασὶ (φησὶ?), καὶ ὕστερον εἰς τὴν ἐκείνου τιμὴν πρῶτον μὲν ἀπόγονοι αὐτοῦ, εἶτα εἴ τις ἄλλος παρείη Λέσβιος, εἶθ' οὕτως οἱ λοιποὶ, μετὰ Λέσβιον ᾠδόν, τὸν ἁπλῶς δηλαδὴ Λέσβιον.

Cf. Proverb. Bodlejan. 627: Μετὰ τὸν Λέσβιον ᾠδόν· ἐπὶ τῶν τὰ δεύτερα καθημένων· Λακεδαιμόνιοι γὰρ Τέρπανδρον Λέσβιον διὰ πολλῆς ἄγοντες τιμῆς τοὺς ἐξ ἐκείνου πρώτους εἰς τὸν μουσικὸν ἀγῶνα εἰσῆγον, εἶτα τοὺς λοιπούς. Zenobius V, 9: Μετὰ Λέσβιον ᾠδόν· παροιμία ταττομένη ἐπὶ τοῖς τὰ δεύτερα φερομένοις, ἐξ αἰτίας τοιᾶσδε· Λακεδαιμόνιοι στασιάζοντες μετεπέμψαντο κατὰ χρησμὸν τοῦ θεοῦ ἐκ Λέσβου τὸν μουσικὸν Τέρπανδρον· ἐλθὼν δὲ ἐκεῖνος καὶ τῇ μουσικῇ χρώμενος, ἥρμοσεν αὐτῶν τὰς ψυχὰς, καὶ τὴν στάσιν ἔπαυσεν. Εἴποτε οὖν μετὰ ταῦτα μουσικοῦ τινος ἤκουον οἱ Λακεδαιμόνιοι, ἐπεφώνουν· « Μετὰ Λέσβιον ᾠδόν. » Μέμνηται τῆς παροιμίας ταύτης Κρατῖνος ἐν Χείρωσι. Eadem Apostolius XII, 70, alii proverbiorum collectores. V. Leutsch. et Schneidewin. ad Parœmiogr. I, p. 118. Plutarch. De sera num. vind. c. 13. De Terpandro etiam Heraclides dixit in Laced. Rep. fr. 2, 6. Cf. Müller. *Dor.* II, 320; Plehn. Lesbiac. p. 146. Allatas proverbii explicationes rejecit Bergkius Comment. de reliquiis vet. Com. Att. p. 229.

Fortasse e Lacedæmoniorum vel ex Arcadum Rep. fluxere quæ de vi quam musica in sedandos animos exerceat, ex Aristotele affert Suidas: Νόμοι κιθαρῳδικοί· Ἀπόλλων, φασὶ, μετὰ λύρας κατέδειξε τοῖς ἀνθρώποις νόμους, καθ' οὓς ζήσονται, πραΰνων τε

85.

Apud Lacedæmonios non solum Metus, sed etiam Mortis et Risus et aliorum similium affectuum fana sunt. Venerantur autem Metum non tanquam noxium, uti eos colimus dæmones, quorum iram avertere studemus, sed rempublicam quam maxime contineri metu existimantes. Quare etiam ephori, ut Aristoteles ait, magistratum ineuntes edicunt civibus, ut mystacem tondeant, et ad leges attendant, ne eæ ipsis sint difficiles, atque illud de mystace, propterea, puto, jubent, ut vel circa res minimas ad obedientiam juvenes assuefaciant.

86.

Aristoteles in Lacedæmoniorum Rep. dicit Lacedæmonios sagis purpureis in bello uti, tum quod color iste virile quiddam habeat, tum quod sanguinis colori similis assuefaciat viros ad fluxum sanguinis contemnendum.

87.

Aristoteles in Lacedæmoniorum Rep. proverbium *Post Lesbium cantorem* de Terpandro intelligendum esse dicit.

ἅμα τῷ μέλει τὸ κατ' ἀρχὰς ἐν αὐτοῖς θηριῶδες, καὶ εὐπρόσιτον τῇ τοῦ ῥυθμοῦ ἡδύτητι ποιῶν τὸ παραγγελλόμενον, καὶ ἐκλήθησαν νόμοι κιθαρῳδικοί. Ἐκεῖθεν δὲ σεμνολογικῶς, ὡς καὶ Ἀριστοτέλει δοκεῖ, νόμοι καλοῦνται οἱ μουσικοὶ τρόποι, καθ' οὕστινας ᾄδομεν. Eadem fere Etym. M. p. 607.

88.

Zenobius II, 24 : Ἁ φιλοχρηματία Σπάρταν ἕλοι, ἄλλο δὲ οὐδέν· αὕτη λέλεκται ἐπὶ τῶν ἐξ ἅπαντος κερδαίνειν προαιρουμένων. Μετενήνεκται δὲ ἀπὸ χρησμοῦ δοθέντος Λακεδαιμονίοις, ἐν ᾧ ἔχρησε τότε ὁ θεὸς ἀπολεῖσθαι τοὺς Λακεδαιμονίους, ὅταν ἀργύριον καὶ χρυσίον τιμήσωσι. Μέμνηται τοῦ χρησμοῦ Ἀριστοτέλης ἐν τῇ Λακεδαιμονίων πολιτείᾳ.

« ἕλοι constanter Parœmiographi. Recte Plutarch. aliique ὀλεῖ vid. Bernhardy ad Suidam. » Schneidewin. Cf. Diogenian. II, 36; Plutarch. Prov. 43; Apostol. V, 11; Arsen 87; Plutarch. Lacon. Institt. p. 239 E; Diodor. Exc. Vat. (VII, 14, 5 ed. Didot.); schol. Arist. Pac. 623; Suidas v. Διιφωνόξενοι; Cicero De offic. II, 22, 7; Plutarch. Agid. 9; Institutt. Lacon. c. 42, p. 239, E; Olympiodor. in Platon. Alcib. I. commentar. p. 164.

[ΚΡΗΤΩΝ.]

[88 a.]

[Arist. Pol. II, 7, 1 : Ἡ δὲ Κρητικὴ πολιτεία πάρεγγυς μέν ἐστι ταύτης (τῆς Λακωνικῆς), ἔχει δὲ μικρὰ μὲν οὐ χεῖρον, τὸ δὲ πλεῖον ἧττον γλαφυρῶς· καὶ γὰρ ἔοικε καὶ λέγεται δὲ τὰ πλεῖστα μεμιμῆσθαι τὴν Κρητικὴν πολιτείαν ἡ τῶν Λακώνων· τὰ δὲ πλεῖστα τῶν ἀρχαίων ἧττον διήρθρωται τῶν νεωτέρων. Φασὶ γὰρ τὸν Λυκοῦργον, ὅτε τὴν ἐπιτροπείαν τὴν Χαριλάου τοῦ βασιλέως καταλιπὼν ἀπεδήμησεν, τότε τὸν πλεῖστον διατρῖψαι χρόνον περὶ τὴν Κρήτην διὰ τὴν συγγένειαν· ἄποικοι γὰρ οἱ Λύκτιοι τῶν Λακώνων ἦσαν· κατέλαβον δ' οἱ πρὸς τὴν ἀποικίαν ἐλθόντες τὴν τάξιν τῶν νόμων ὑπάρχουσαν ἐν τοῖς τότε κατοικοῦσιν· διὸ καὶ νῦν οἱ περίοικοι τὸν αὐτὸν τρόπον χρῶνται αὐτοῖς, ὡς κατασκευάσαντος Μίνω πρώτου τὴν τάξιν τῶν νόμων. (2) Δοκεῖ δ' ἡ νῆσος καὶ πρὸς τὴν ἀρχὴν τὴν Ἑλληνικὴν πεφυκέναι καὶ κεῖσθαι καλῶς· πάσῃ γὰρ ἐπίκειται τῇ θαλάσσῃ σχεδὸν τῶν Ἑλλήνων ἱδρυμένων περὶ τὴν θάλασσαν πάντων· ἀπέχει γὰρ τῇ μὲν τῆς Πελοποννήσου μικρόν, τῇ δὲ τῆς Ἀσίας τοῦ περὶ Τριόπιον τόπου καὶ Ῥόδον. Διὸ καὶ τὴν τῆς θαλάσσης ἀρχὴν κατέσχεν ὁ Μίνως, καὶ τὰς νήσους τὰς μὲν ἐχειρώσατο, τὰς δ' ᾤκισε· τέλος δὲ ἐπιθέμενος τῇ Σικελίᾳ τὸν βίον ἐτελεύτησεν ἐκεῖ περὶ Κάμικον. (3) Ἔχει δ' ἀνάλογον ἡ Κρητικὴ τάξις πρὸς τὴν Λακωνικήν· γεωργοῦσί τε γὰρ τοῖς μὲν εἵλωτες, τοῖς δὲ Κρησὶν οἱ περίοικοι· καὶ συσσίτια παρ' ἀμφοτέροις ἐστί· καὶ τό γε ἀρχαῖον ἐκάλουν οἱ Λάκωνες οὐ φιδίτια, ἀλλὰ ἄνδρια, καθάπερ οἱ Κρῆτες, ᾗ καὶ δῆλον ὅτι ἐκεῖθεν ἐλήλυθεν. Ἔτι δὲ τῆς πολιτείας ἡ τάξις· οἱ μὲν γὰρ ἔφοροι τὴν αὐτὴν ἔχουσι δύναμιν τοῖς ἐν τῇ Κρήτῃ καλουμένοις κόσμοις, πλὴν οἱ μὲν ἔφοροι πέντε τὸν ἀριθμόν, οἱ δὲ κόσμοι δέκα εἰσίν. Οἱ δὲ γέροντες τοῖς γέρουσιν, οὓς καλοῦσιν οἱ Κρῆτες βουλήν, ἴσοι. Βασιλεία δὲ πρότερον μὲν ἦν, εἶτα κατέλυσαν οἱ Κρῆτες· καὶ τὴν ἡγεμονίαν οἱ κόσμοι τὴν κατὰ πόλεμον ἔχουσιν. (4) Ἐκκλησίας δὲ μετέχουσι πάντες·

---

88.

*Avaritia Spartam perdet, aliud nihil.* Hoc proverbium de iis dicitur, qui ex omni re quæstum facere student. Translatum est ab oraculo Lacedæmoniis dato, quo vaticinatus deus est tum Lacedæmonios perditum iri, quum argentum et aurum in honore habere cœperint. Meminit oraculi Aristoteles in Lacedæmoniorum Republica.

CRETENSIUM.

88 a.

Cretensium autem respublica ad Spartanam proxime quidem accedit : sed quum habeat pauca quædam non deteriora, plurima tamen habet minus exculta minusque expolita. Videtur enim, et vero ita dicitur, Lacedæmoniorum respublica plerisque in rebus Cretensem esse æmulata. Antiquitas autem utplurimum minus est elaborata et perfecta, quam recentiora inventa solent esse. Aiunt enim Lycurgum, quum relicta Charilai regis tutela peregre abiisset, plurimum temporis in insula Creta commoratum esse propter cognationem. Coloni enim erant Lyctii a Lacedæmoniis profecti. Repererunt autem ii, qui in coloniam deducti sunt, incolas tum legibus et institutis utentes, quibus res eorum primus Minos ordinaverat : quocirca etiam nunc vicini eodem modo iis utuntur. (2) Videtur autem insula et ad imperium Græciæ facta natura et commode admodum sita. Omni enim mari propinqua imminet, et Græci fere omnes circa mare sedes fixerunt. Abest enim hac parte quidem non longe a Peloponneso, illa autem ab Asiæ regione quæ est circum Triopium et Rhodum. Quapropter et maris imperium obtinuit Minos, et insulas alias cepit, alias colonis frequentavit. Ad extremum autem bello Siciliæ illato, illic ad Camicum excessit e vita. (3) Cretensis autem reipublicæ descriptio atque ordinatio Laconicæ respondet. Agros enim colunt his quidem Helotes, illis autem Periœci quos appellant : et convivia publica fiunt apud utrosque. Ac priscis sane temporibus nominabant illa Lacones non Phiditia, uti nunc, sed Andria, quemadmodum Cretenses : ex quo etiam perspicuum est, ab his orta esse. Præterea etiam reipublicæ administrandæ descriptio. Ephori enim eandem Lacedæmone potestatem obtinent, atque in Creta ii qui dicuntur Cosmi : nisi quod ephori numero sunt quinque, cosmi decem : senatores autem senatoribus, quos Cretes Bulan, hoc est consilium, appellant, numero sunt pares. Porro etiam regibus antea Cretenses paruerunt ; postea vero regalem potestatem sustulerunt, et cosmi in bello principem locum imperiumque obtinent. (4) Concionis porro omnes sunt quidem participes, sed penes illam nullius rei gerendæ potestas est, præterquam earum rerum, quæ se-

90.

Plutarch. Qu. Gr. c. 5, p. 292, B : « Τίνες οἱ παρὰ Ἀρκάσι καὶ Λακεδαιμονίοις χρηστοί; » Λακεδαιμόνιοι Τεγεάταις διαλλαγέντες ἐποιήσαντο συνθήκας, καὶ στήλην ἐπ' Ἀλφειῷ κοινὴν ἀνέστησαν, ἐν ᾗ μετὰ τῶν ἄλλων γέγραπται, Μεσσηνίους ἐκβαλεῖν ἐκ τῆς χώρας, καὶ μὴ ἐξεῖναι χρηστοὺς ποιεῖν. Ἐξηγούμενος οὖν ὁ Ἀριστοτέλης τοῦτό φησι δύνασθαι τὸ μὴ ἀποκτιννύναι βοηθείας χάριν τοῖς λακωνίζουσι τῶν Τεγεατῶν.

Idem Qu. Rom. c. 52, p. 277, C : Ἀριστοτέλης ἐν ταῖς Ἀρκάδων πρὸς Λακεδαιμονίους συνθήκαις γεγράφθαι φησί, μηδένα χρηστὸν ποιεῖν βοηθείας χάριν τοῖς λακωνίζουσι τῶν Τεγεατῶν· ὅπερ εἶναι, μηδένα ἀποκτιννύναι. Priore loco reponendum esse ex altero μηδένα χρηστὸν ποιεῖν pro μὴ ἐξεῖναι χρηστοὺς ποιεῖν censet Grashofius, ipsum, puto, Plutarchum correcturus. Cf. Hesych. v. Χρηστός.

[ΜΑΝΤΙΝΕΩΝ.]

[90 a.]

[Arist. Pol. VI, 2, 2 : Παρ' ἐνίοις δήμοις, κἂν μὴ μετέχωσι τῆς αἱρέσεως τῶν ἀρχῶν, ἀλλὰ τινὲς αἱρετοὶ κατὰ μέρος ἐκ πάντων, ὥσπερ ἐν Μαντινείᾳ, τοῦ δὲ βουλεύεσθαι κύριοι ὦσιν, ἱκανῶς ἔχει τοῖς πολλοῖς. Καὶ δεῖ νομίζειν καὶ τοῦτ' εἶναι σχῆμά τι δημοκρατίας, ὥσπερ ἐν Μαντινείᾳ ποτ' ἦν.]

Democraticam reip. formam olim ap. Mant. viguisse Schneiderus nescio quo jure colligi posse opinatur ex Thuc. V, 47 (Ol. 89), ubi in Mantinensium oratione : ἐν δὲ Μαντινείᾳ οἱ δημιουργοὶ καὶ ἡ βουλὴ etc. Ceterum jure respuit sententiam Sanctocrucii.

[ΗΡΑΙΕ. Ν.]

[90 b.]

[Arist. Pol. V, 2, 9 : Μεταβάλλουσι δ' αἱ πολιτεῖαι καὶ ἄνευ στάσεως διὰ τὰς ἐριθείας, ὥσπερ ἐν Ἡραίᾳ· ἐξ αἱρετῶν γὰρ διὰ τοῦτο ἐποίησαν κληρωτάς, ὅτι ᾑροῦντο τοὺς ἐριθευομένους.] Heræa urbs Arcadiæ. Cf. Müller. *Dor.* II, p. 444.

ΚΟΙΝΗ ΑΡΚΑΔΩΝ ΠΟΛΙΤΕΙΑ.

91.

Harpocration: Μύριοι ἐν Μεγάλῃ πόλει· Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου (περὶ παραπρ. p. 344, 13). Συνέδριόν ἐστι κοινὸν Ἀρκάδων ἁπάντων, οὗ πολλάκις μνημονεύουσιν οἱ ἱστορικοί. Διείλεκται δὲ περὶ αὐτῶν καὶ Ἀριστοτέλης ἐν τῇ Κοινῇ Ἀρκάδων πολιτείᾳ, ἀρχόμενος τοῦ βιβλίου. Eadem usque ad vocem ἱστορικοί Photius, Suidas, Favorinus p. 128, 47. Cf. Xenophon Hellen. VI, 5, 3; Diodorus XV, 59; Pausanias VIII, 27; Polyb. IX, 21; Strabo VIII, 595; Manso *Sparta* III, 2, p. 82; Tittmann. *Gr. Staatsverf.* p. 691; Cortum p. 128. Ceterum quomodo intelligendum sit illud ἐν κοινῇ Ἀρ. πολ., argumentum fragmenti docet; neque monuissem, nisi Grashofius p. 291 putaret primum Aristotelem in universum de Arcadia dixisse, atque ad haucce partem titulum nostrum pertinere; deinde vero singulas quasque Arc. respublicas recensitas esse.

De Arcadibus in unam Megalopolis civitatem congregatis intelligendus etiam est locus Arist. Polit. II, 1, 5 : Διοίσει δὲ τῷ τοιούτῳ καὶ πόλις ἔθνους, ὅταν μὴ κατὰ κώμας ὦσι κεχωρισμένοι τὸ πλῆθος, ἀλλ' οἷον Ἀρκάδες.

---

90.

*Qui sunt apud Arcades et Lacedæmonios* χρηστοί, *id est boni?* Lacedæmonii Tegeatis reconciliati, fœdus pepigerunt et communem columnam ad Alpheum posuerunt : in qua inter alia fœderis capita hoc scriptum erat, *Messenios regione pellunto, neminem bonum faciunto.* Hoc Aristoteles interpretans ait eo significari, *Tegeatarum neminem debere interfici, qui auxilii causa Laconicis rebus studeret.*

In fœdere Arcadum cum Spartanis facto scriptum esse Aristoteles testatur, *Neminem Tegeatarum debere bonum reddi* (id est *interfici*), *si auxilii causa rebus Lacedæmoniorum studeat.*

[MANTINENSIUM.]

[90 a.]

[Nam apud nonnullos populos, etiamsi non habeant universi jus mandandorum magistratuum, sed aliqui per vices lecti, ut Mantineæ, si modo penes eam consultandi sit potestas, hoc uno est contenta multitudo. Atque hanc figuram quandam esse democratiæ oportet existimare, qualis erat olim Mantineæ.]

[HERÆENSIUM.]

[90 b.]

[Mutantur porro respublicæ etiam sine seditione per ambitum, quemadmodum in Heræa. Nam idcirco magistratus, qui antea suffragio deferebantur, sortito mandari cœpti sunt : quia eligebant homines ambitu grassantes.]

COMMUNIS ARCADUM RESPUBLICA.

91.

Decies mille viri in urbe Megalopoli. Demosthenes in oratione contra Æschinem. Est commune totius Arcadiæ concilium, cujus sæpe mentionem faciunt historici. Disserit de iis etiam Aristoteles in Communi Arcadum republica, statim initio libelli.

## ΗΛΕΙΩΝ.

92.

Harpocration : Ἑλλανοδίκαι : Ἀριστοτέλης Ἠλείων πολιτείᾳ τὸ μὲν πρῶτόν φησιν ἕνα καταστῆσαι τοὺς Ἠλείους Ἑλλανοδίκην, χρόνου διελθόντος β', τὸ δὲ τελευταῖον θ'.

De numero Hellanodicarum variis temporibus vario vide Bœckh. ad Pindari schol. p. 95. Locos veterum qui huc pertinent collectos et exscriptos habes in Stephan. Thesaur. s. h. v. Cf. fragm. Aristodemi Elei.

(93.)

Strabo VIII, p. 345 : Νυνὶ δὲ περὶ τῶν ἐν τῇ Τριφυλίᾳ Καυκώνων ταῦτα προσιστορητέον. Οἱ μὲν γὰρ ὅλην τὴν νῦν Ἠλείαν, ἀπὸ τῆς Μεσσηνίας μέχρι Δύμης, Καυκωνίαν λεχθῆναί φασιν. Ἀντίμαχος οὖν Ἐπειοὺς καὶ Καύκωνας ἅπαντας προσαγορεύει· τινὲς δὲ, ὅλην μὲν μὴ κατασχεῖν αὐτοὺς, δίχα δὲ μεμερισμένους οἰκεῖν, τοὺς μὲν πρὸς τῇ Μεσσηνίᾳ κατὰ τὴν Τριφυλίαν, τοὺς δὲ πρὸς τῇ Δύμῃ κατὰ τὴν Βουπρασίδα καὶ τὴν κοίλην Ἦλιν. Ἀριστοτέλης δ' ἐνταῦθα μάλιστα οἶδεν ἱδρυμένους αὐτούς. Καὶ δὴ τοῖς ὑφ' Ὁμήρου λεγομένοις ὁμολογεῖ μᾶλλον ἡ ὑστάτη ἀπόφασις· τό τε ζητούμενον πρότερον λαμβάνει λύσιν. Reliqua apud ipsum legas Strabonem. Num recte ad Respublicas locus referatur dubium est. Ad Ὁμηρικὰ ἀπορήματα referri malim.

[93 a.]

[Arist. Pol. VI, 2, 5: Ἔστι δὲ καὶ ὃν λέγουσιν Ὀξύλου νόμον εἶναι τοιοῦτόν τι δυνάμενος, τὸ μὴ δανείζειν εἴς τι μέρος τῆς ὑπαρχούσης ἑκάστῳ γῆς.] De Oxylo Eleorum rege v. Pausanias V, 3. De lege aliunde non nota v. Müller. *Dor.* II, p. 200.

[93 b.]

[Idem Pol. V, 5, 8 : Καταλύονται δὲ καὶ ὅταν ἐν τῇ ὀλιγαρχίᾳ ἑτέραν ὀλιγαρχίαν ἐμποιῶσι· τοῦτο δ' ἐστὶν, ὅταν, τοῦ παντὸς πολιτεύματος ὀλίγου ὄντος, τῶν μεγίστων ἀρχῶν μὴ μετέχωσιν οἱ ὀλίγοι πάντες· ὅπερ ἐν Ἤλιδι συνέβη ποτέ· τῆς πολιτείας γὰρ δι' ὀλίγων οὔσης, τῶν γερόντων ὀλίγοι πάμπαν ἐγίνοντο, διὰ τὸ ἀϊδίους εἶναι ἐνενήκοντα ὄντας, τὴν δ' αἵρεσιν δυναστευτικὴν εἶναι καὶ ὁμοίαν τῇ τῶν ἐν Λακεδαίμονι γερόντων.]

« De Eleorum statu reip. parum aut nihil scripta vett. tradunt, præter unum Thucydidem, V, 47, ubi obiter memorantur in Eleorum δημοκρατίᾳ οἱ δημιουργοὶ καὶ οἱ τὰ τέλη ἔχοντες καὶ οἱ ἑξηκόσιοι. Sed ad illud ipsum factum, quod Aristoteles commemorat, spectare videtur id quod narrat obiter Plutarchus in Præc. Polit. [c. 10] : Καὶ βουλήν τινες ἐπαχθῆ καὶ ὀλιγαρχικὴν κολούσαντες, ὥσπερ Ἐφιάλτης Ἀθήνησι καὶ Φορμίων παρ' Ἠλείοις, δύναμιν ἅμα καὶ δόξαν ἔσχον. » SCHNEIDER ad h. l. Cf. Müller. *Dor.* II, p. 97. 74. 141.

De Eleo Neptuni et Eurypyles filio, Epei et Alexidis patre, Aristoteles ἐν Πέπλῳ laudatur ap. Etym. M. v. Ἦλις. V. infra.

## ΤΡΟΙΖΗΝΙΩΝ.

94.

Athenæus I, p. 31, C : Ὠνομάζετο δὲ παρὰ Τροιζηνίοις, ὥς φησιν Ἀριστοτέλης ἐν τῇ αὐτῶν Πολιτείᾳ, ἄμπελος Ἀνθηδονιὰς καὶ Ὑπεριὰς ἀπὸ Ἄνθου τινὸς καὶ Ὑπέρου, ὡς καὶ Ἀλθηφιὰς ἀπὸ Ἀλθηφίου τινὸς, ἑνὸς τῶν Ἀλφείου ἀπογόνων.

Hinc sua Suidas v. Ἀλθηφιάς et Zonar. p. 126.

---

## ELEORUM.

92.

Aristoteles in Eleorum Republ. dicit primum quidem unum tantum Hellanodicam Eleos instituisse, postea duos, postremo novem.

(93.)

De Cauconibus Triphyliæ hæc nunc addenda sunt. Etenim nonnulli Eleam universam Cauconiam appellatam esse dicunt. Itaque Antimachus Epeos et Caucones omnes appellat; alii vero non totam Eleam eos tenuisse volunt, sed bifariam divisos habitasse, alteros ad Messeniam in Triphylia, alteros ad Dymen in Bupraside et in Cava Elide. Aristoteles vero hoc postremo maxime loco eos consedisse novit. Quæ quidem sententia magis convenit cum verbis Homeri; atque sic etiam quod antea quærebatur, jam explicationem invenit.

[93 a.]

[Est etiam lex, quam ab Oxylo latam esse dicunt, agrum fœnori ad certam partem addicere vetans.]

[93 b.]

[Dissolvitur etiam oligarchia, quum in oligarchiam alteram oligarchiam inducunt, quod fit, quum, ad paucos contracta reipublicæ administratione, amplissimorum magistratuum omnes pauci non sunt participes : quod aliquando in Elide accidit. Nam quum respublica a paucis administraretur, pauci omnino fiebant senatores, et quia perpetui erant, numero nonaginta, et quia electio erat dynastica atque ei similis, qua senatores Lacedæmone leguntur.]

## TRŒZENIORUM.

94.

Apud Trœzenios, ut Aristoteles in Rep. eorum tradit, nominabatur vitis Anthedonias et Hyperias ab Antho quodam et Hypere, sicuti etiam Althephias ab Althephio quodam, uno ex Alphei posteris.

## 95.

Plutarch. Qu. Gr. c. 19, p. 295, D : « Τίς ἡ Ἀνθηδὼν, περὶ ἧς ἡ Πυθιὰς εἶπε·

Πῖν' οἶνον τρυγίαν, ἐπεὶ οὐκ Ἀνθηδόνα ναίεις;

Ἡ γὰρ ἐν Βοιωτοῖς οὐκ ἔστι πολύοινος. » Τὴν Καλαυρίαν Εἰρήνην τοπαλαιὸν ὠνόμαζον ἀπὸ γυναικὸς Εἰρήνης, ἣν ἐκ Ποσειδῶνος καὶ Μελανθείας τῆς Ἀλφειοῦ γενέσθαι μυθολογοῦσιν. Ὕστερον δὲ τῶν περὶ Ἄνθην καὶ Ὑπέρην αὐτόθι κατοικούντων, Ἀνθηδονίαν καὶ Ὑπέρειαν ἐκάλουν τὴν νῆσον. Εἶχε δὲ ὁ χρησμὸς οὕτως, ὡς Ἀριστοτέλης φησί·

Πῖν' οἶνον τρυγίαν, ἐπεὶ οὐκ Ἀνθηδόνα ναίεις,
οὐδ' ἱερὰν Ὑπέραν, ὅθι γ' ἄτρυγον οἶνον ἔπινες.

Ταῦτα μὲν ὁ Ἀριστοτέλης. Ὁ δὲ Μνασιγείτων φησὶν, Ὑπέρητος ἀδελφὸν ὄντα τὸν Ἄνθον, ἔτι νήπιον ἀπολέσθαι, καὶ τὴν Ὑπέρην κατὰ ζήτησιν αὐτοῦ πλανωμένην, εἰς Φερὰς πρὸς Ἄκαστον (ἢ Ἄδραστον) ἐλθεῖν, ὅπου κατὰ τύχην ὁ Ἄνθος ἐδούλευεν οἰνοχοεῖν τεταγμένος. Ὡς οὖν εἱστιῶντο, τὸν παῖδα προσφέροντα τῇ ἀδελφῇ τὸ ποτήριον, ἐπιγνῶναι, καὶ εἰπεῖν πρὸς αὐτὴν ἡσυχῇ·

Πῖν' οἶνον τρυγίαν, ἐπεὶ οὐκ Ἀνθηδόνα ναίεις.

Εἰρήνην] Idem tradunt Photius et Steph. Byz. v. Καλαύρεια. Nomen ab asylo celebratissimo derivandum esse videtur; cf. Strabo p. 374. — Hyperes rex Tirynthis et Anthus sive Anthes, Neptuni et Alcyones (Lycaonis f. sec. St. Byz. v. Ὑπερήσια) filii, et conditores Hyperææ et Anthiæ. Pausan. II, 30, 7. Alius Hyperes, Melanis et Euryclex f. Thessalus, Pheris habitavit ad Hyperiam fontem. Nominum et locorum cognationem quandam indicat narratio Mnasigitonis, ex qua Pheris Hypere fratrem invenit.

Quid Aristoteles narraverit, ex Plutarcho haud intelligis. Potuit eadem fere tradere quæ Mnaseas, ita quidem ut statuamus Pythiam fratrem quærenti respondisse : Reperies ubi quis his te compellet verbis : πῖν' οἶνον etc. Alium tamen fuisse narrationis tenorem colligi possit ex Athenæo p. 31, B, ubi postquam ex Hippy (fr. 7) retulerat Biblinam vitem a Pollide Argivo, Syracusanorum principe, in Siciliam asportatam esse, abrupte subjicitur ab excerptore oraculum nostrum πῖν' οἶνον κ. τ. λ. et deinceps locus fr. 94 adscriptus. Quæ quum cohærere inter se aliquo modo debeant, Pollux vero (VI, 16; vide fr. 5 Hippyis) referat τὸν Πόλιον οἶνον nomen habere ἀπὸ τοῦ Συρακουσίων βασιλέως Πόλλιδος, ὡς Ἀριστοτέλης λέγει : probabile est hæc quoque cum iis quæ Plutarchus ex Aristotele affert conjungenda esse. Itaque oraculum illud Pollidi Argivo, postquam Syracusas jam abierat, nescio qua occasione datum fuerit, idque in caussa fuisse videtur, cur vitem Pollis ex Anthedonia s. Calauria (ex Italia, ut Hippys tradidisse dicitur) in Siciliam transplantandam curaret. Sec. Etym. M. vitem illam ex Thracia in Siciliam transplantatam a Pollide esse ad Hippyis fragm. 7 monui; addo auctorem hujus narrationis haud dubie cogitasse de Thracica Anthedone, Anthedonis Bœotiæ metropoli (De Anthe Thrace poeta, Lini æquali, v. Müller, *Min.* p. 388) Ceterum alii scriptores fortasse de Bœotica Anthedone cogitarunt. Hæc enim a Dicæarcho εὔοινος dicitur. Unde tamen minime sequitur Plutarchum, qui de sua ætate loquens Anthedonem non esse πολύοινον dicit, erroris incusandum esse, uti fecit Müllerus *Min.* p. 29, et qui eum sequuntur, Fuhrius et Marxius ad Dicæarchum. — Mnasigiton idem est cum Mnesigitone, quem una cum Aristotele laudat Plinius VIII, sect. 57 : *Quadriremem Aristoteles Carthaginienses, quinqueremem Mnesigiton Salaminios, sex ordinum Xenagoras Syracusios (primos fecisse aiunt) : ab ea ad decemremem Mnesigiton Alexandrum Magnum instituisse.* Aliunde virum non novi.

## 96.

Plutarchus Thes. c. 3 : Πέλοψ γὰρ οὐ χρημάτων πλήθει μᾶλλον ἢ παίδων μέγιστον ἴσχυσε τῶν ἐν Πελοποννήσῳ βασιλέων, πολλὰς μὲν ἐκδόμενος θυγατέρας τοῖς ἀρίστοις, πολλοὺς δὲ ταῖς πολιτείαις υἱοὺς ἐγκατασπείρας ἄρχοντας· ὧν εἷς γενόμενος Πιτθεὺς ὁ Θησέως πάππος πόλιν μὲν οὐ μεγάλην τὴν Τροιζηνίων

---

95.

*Quænam est Anthedon, de qua Pythias dixit,*

Fæcatum bibe vinum, ut non Anthedone degens?

*neque enim Bœotiæ Anthedon vini ferax est multi.* Calauria antiquitus dicta fuit Irene a femina Irena, quam fabulantur natam Neptuno et Melanthia Alphei filia. Postmodo quum Anthes Hyperesque cum suis ibi habitarent, insula dicta fuit Anthedonia et Hypereia. Oraculum, ut Aristoteles tradit, tale fuit :

Fæcatum bibe vinum, ut non Anthedone degens,
aut Hyperæ sacræ, quod ibi sine fæce bibisses.

Mnasigito autem scribit, Anthum Hyperetis fratrem etiamnum infantem fuisse amissum, Hyperenque vagatam ejus quærendi causa, Pheras ad Acastum (aut Adrastum) venisse, ubi tum forte Anthus servus a poculis erat : hunc in convivio sororem, cui poculum præbebat, agnovisse, et clam ei dixisse :

Fæcatum bibe vinum, ut non Anthedone degens.

96.

Pelops non pecuniæ magis vi quam liberorum plurimum inter Peloponnesios pollebat reges, quod et filias multas summis viris collocasset, et multos filios in civitatium principatum genuisset : ex quibus unus Pittheus Thesei avus, oppidum non amplum quidem illud Trœzeniorum incolis

τας αὐτοὺς Δρύοπος τοῦ Ἀρκάδος κατοικίσαντος ἐνταῦθα, ὡς Ἀριστοτέλης φησὶν, ἢ Ἡρακλέους ἐκ τῆς περὶ τὸν Παρνασσὸν Δωρίδος ἐξελάσαντος αὐτούς.

Loquitur Strabo de Asine Argolidis prope Hermionen sita, unde pulsi ab Argivis Dryopes alteram condiderunt Asinen prope Cardamylen in Messenia. Pausan. IV, 34, 6. (Δρυόπων δὲ Ἑρμιόνη τε καὶ Ἀσίνη ἡ πρὸς Καρδαμύλῃ τῇ Λακωνικῇ. Herodot. VIII, 73, ubi ceteros vett. locos congessit Bæhr.) Cf. Müller. *Dor.* I, 84, 155; II, 436. 455. Theopomp. fr. 191. — De Arcadica Dryopum origine cum Aristotele facit schol. Apoll. Rhod. I, 1283, ubi genealogia hæc est: Lycaon, Dia, Dryops. Hinc sua Tzetzes Lycophr. 480. Etym. M. p. 288, 32. Antiquiorem traditionem habes apud Pherecydem fr. 33. Cf. Müller. *Dor.* I, p. 41.

## ΑΡΓΕΙΩΝ.

### 99.

Pollux On. X, 179 : Εἴη δ' ἂν καὶ φείδων τι ἀγγεῖον ἐλαιηρὸν ἀπὸ τῶν Φειδωνίων μέτρων ὠνομασμένον, ὑπὲρ ὧν ἐν Ἀργείων πολιτείᾳ Ἀριστοτέλης λέγει. De vasculo illo aliunde non constat. De Phidone v. quos laudavimus ad Marm. Par. ep. 30.

### [99 a.]

[Arist. Pol. V, 8, 4 : Φείδων μὲν περὶ Ἄργος καὶ ἕτεροι τύραννοι κατέστησαν, βασιλείας ὑπαρχούσης.

Pol. V, 2, 8 : Ἐν Ἄργει τῶν ἐν τῇ ἑβδόμῃ ἀπολομένων ὑπὸ Κλεομένους τοῦ Λάκωνος ἠναγκάσθησαν παραδέξασθαι τῶν περιοίκων τινάς. Cf. Müller *Dor.* II, 56. Niebuhr. *R. G.* I, p. 127, not. 243.

Pol. V, 2. 4 : Διὸ ἐνιαχοῦ εἰώθασιν ὀστρακίζειν, οἷον ἐν Ἄργει καὶ Ἀθήνησιν.

Pol. V, 3, 5 : Ἐν Ἄργει οἱ γνώριμοι εὐδοκιμήσαντες περὶ τὴν ἐν Μαντινείᾳ μάχην τὴν πρὸς Λακεδαιμονίους ἐπεχείρησαν καταλύειν τὸν δῆμον.]

## ΑΙΓΙΝΗΤΩΝ.

### 100.

Athenæus VI, p. 272, D : Ἀριστοτέλης δ' ἐν Αἰγινητῶν πολιτείᾳ καὶ παρὰ τούτοις φησὶ γενέσθαι ἑπτὰ καὶ τεσσαράκοντα μυριάδας δούλων.

Schol. Pind. Ol. VIII, 30 : Οὕτω γὰρ ἐπλήθυναν οἱ Αἰγινῆται, ὡς τεσσαράκοντα ἑπτὰ μυριάδας οἰκετῶν κτήσασθαι.

Clintonus in F. Hell. tom. II, p. 423, delendum censet vocem τεσσαράκοντα et hoc loco et in iis, quæ antecedunt apud Athenæum de servis Corinthiorum (ex Timæo fr. 48).

### [100 a.]

[Arist. Pol. V, 5, 6 : Oligarchiæ sæpe evertuntur ab oligarchis, qui quum vita luxuriosa patrimonium perdiderint, novis rebus student. Καὶ ἐν Αἰγίνῃ ὁ τὴν πρᾶξιν τὴν πρὸς Χάρητα πράξας ἐνεχείρησε μεταβαλεῖν τὴν πολιτείαν διὰ τοιαύτην αἰτίαν. Cf. Müller Æginet. p. 115; *Dor.* II, p. 146.

Pol. IV, 4, 1 : Τὸ ἐμπορικὸν ἐν Αἰγίνῃ καὶ Χίῳ (πολύοχλόν ἐστιν).]

## ΣΙΚΥΩΝΙΩΝ.

### 101.

Pollux IX, 77 : Τὸ μέντοι τῶν ὀβολῶν ὄνομα οἱ μὲν ὅτι πάλαι βουπόροις ὀβελοῖς ἐχρῶντο πρὸς τὰς ἀμοιβάς, ὧν τὸ ὑπὸ τῇ δρακὶ πλῆθος ἐδόκει καλεῖσθαι δραχμή· τὰ δὲ ὀνόματα καὶ τοῦ νομίσματος μεταπεσόντος ἐς τὴν νῦν χρείαν ἐνέμεινεν ἐκ τῆς μνήμης τῆς παλαιᾶς. Ἀριστοτέλης ταὐτὸν λέγων ἐν Σικυωνίων πο-

---

deduxerit, ut Aristoteles tradit, aut quos e Doride circa Parnassum terra Hercules ejecerit.

## ARGIVORUM.

### 99.

Fuerit etiam phidon vas quoddam olei certam mensuram continens, a Phidonis mensuris denominatum, de quibus in Argivorum Republica exponit Aristoteles.

### [99 a.]

[Phidon Argis, et alii alibi, regnum quod prius erat in tyrannidem converterunt.]

[Argis, quum ii qui erant in Hebdoma, a Cleomene Lacedæmonio essent interfecti, coacti sunt Argivi nonnullos ex vicinis imperio suo subditis, quos Periœcos nominant, in civitatem assumere.]

[Quocirca in nonnullis locis solent (præstantiores viros) ostracismo ad certum tempus relegare, ut Argis et Athenis.]

[Argis optimates, magna in prœlio adversus Lacedæmonios ad Mantineam commisso parta gloria, conati sunt democratiam de medio tollere.]

## ÆGINETARUM.

### 100.

Aristoteles in Æginetarum Republica etiam apud hos quadringenta septem millia servorum fuisse dicit.

### [100 a.]

[Etiam in Ægina is qui negotium prodendæ urbis Chareti egerat, propter talem causam rempublicam mutare conatus est.]

[Magna turba est mercatorum in Ægina et Chio]

## SICYONIORUM.

### 101.

Quod nomen obolorum attinet, nonnulli dicunt olim longis obolis (quasi verubus quibus figuntur frusta bubula) usos esse in permutationibus; eorum obolorum multitudinem quanta pugillo (δρακί) comprehendi posset, δραχμὴν appellatam esse; ista vero nomina etiam tum, quum numisma id in præsentem usum transmutatum esset, ex pristina memoria remansisse. Aristoteles vero eadem dicens in Republica Sicyoniorum, nonnihil tamen innovat, dum

λιτείᾳ σμικρόν τι καινοτομεῖ, ὀφελλοὺς αὐτοὺς τέως ὠνομάσθαι λέγων, τοῦ μὲν ὀφέλλειν δηλοῦντος τὸ αὔξειν, αὐτῶν δὲ διὰ τὸ εἰς μῆκος ηὐξῆσθαι ὧδε κληθέντων· ὅθεν καὶ τὸ ὀφείλειν ὠνομάσθαι φησὶν οὐκ οἶδ' ὅπως· ἐπὶ μέντοι τῶν ὀδελῶν ὑπηλλάχθαι τὸ φ εἰς τὸ β κατὰ συγγένειαν.

Cf. Eustathius ad Il. A, p. 136, ubi ait olim ὀδολὸν et ὀδελὸν ejusdem significationis fuisse, ap. posteriores diversa plane his vocibus indicari, scilicet ὀδελὸν significare *veru*, ὀδολὸν δὲ σιδηροῦν τι ἔλασμα ἔλεγον, σχῆμα μέν πως ἔχον ὀδελοῦ, οὐ μέντοι εἰς πάντη ὀξὺ λῆγον· οὕτω δὲ ἁδρὸν ἦν τῇ παχύτητι ἐκεῖνο ἔλασμα τοῦ ὀδολοῦ ὥστε ὀδελοὶ ἓξ τὴν δράκα ἐπλήρουν. Καὶ τοῦτο ἐλέγετο δραχμή, ὀδολῶν τοιούτων ἑξάς, ὅσων ἐπιδεδράχθαι δύναται χείρ. Etym. M. v. Ὀδολός: Οἱ μὲν οὖν Ἴωνες ὀδελός, ἡμεῖς δὲ ὀδολός· πάντων δὲ πρῶτος Φείδων Ἀργεῖος νόμισμα ἔκοψεν ἐν Αἰγίνῃ. Καὶ διὰ τὸ νόμισμα ἀναλαβὼν τοὺς ὀδελίσκους ἀνέθηκε τῇ ἐν Ἄργει Ἥρᾳ· ἐπειδὴ δὲ τότε οἱ (ἓξ?) ὀδελίσκοι τὴν χεῖρα ἐπλήρουν, τουτέστι τὴν δράκα, ἡμεῖς, καίπερ μὴ πληροῦντες τὴν δράκα τοῖς ἓξ ὀδολοῖς, δραχμὴν αὐτὴν λέγομεν, παρὰ τὸ δράξασθαι. Plutarch. Lysandr. 17. Etym. M.: Ὀφέλλω σημαίνει τὸ αὔξω, διαβάλλω· ἐξ οὗ πλεονασμῷ τοῦ ι γίνεται ὀφείλω· ὅθεν καὶ ὀφείλημα τὸ αὐξανόμενον ἐν τῷ τόκῳ δάνειον. Idem: Ὀδελίσκος οἱονεὶ ὀφελίσκος τις ὤν, ὁ εἰς μῆκος ὀφελλόμενος· ὀφέλλειν γὰρ τὸ αὔξειν· καὶ ὀδελός· σημαίνει δὲ ἀμφότερα τὰς σούβλας.

[101 a.]

[Arist. Pol. V, 10, 3: Μεταβάλλει καὶ εἰς τυραννίδα τυραννίς, ὥσπερ ἡ Σικυῶνος ἐκ τῆς Μύρωνος εἰς τὴν Κλεισθένους.

Pol. V; 9, 21: Πασῶν ὀλιγοχρονιώτεραι τῶν πολιτειῶν εἰσιν ὀλιγαρχία καὶ τυραννίς· πλεῖστον γὰρ ἐγένετο χρόνον ἡ περὶ Σικυῶνα τυραννὶς ἡ τῶν Ὀρθαγόρου παίδων καὶ αὐτοῦ Ὀρθαγόρου. Ἔτη δ' αὕτη διέμεινεν ἑκατόν· τούτου δ' αἴτιον, ὅτι τοῖς ἀρχομένοις ἐχρῶντο μετρίως, καὶ πολλὰ τοῖς νόμοις ἐδούλευον· καὶ διὰ τὸ πολεμικὸς γίνεσθαι Κλεισθένης οὐκ ἦν εὐκαταφρόνητος· καὶ τὰ πολλὰ ταῖς ἐπιμελείαις ἐδημαγώγουν. Λέγεται γοῦν Κλεισθένης τὸν ἀποκρίναντα τῆς νίκης αὐτὸν ὡς ἐστεφάνωσεν· ἔνιοι δ' εἰκόνα φασὶν εἶναι τοῦ κρίναντος οὕτως τὸν ἀνδριάντα τὸν ἐν τῇ ἀγορᾷ καθήμενον.]

## ΑΧΑΙΩΝ.

Ex *Achæorum* Ἀχαιῶν πολιτείᾳ plura excerpsisse Sopatrum lib. XII tradit Photius Bibl. cod. 161.

## ΠΕΛΛΗΝΕΩΝ.

102.

Harpocration: Μαστῆρες· Ὑπερίδης ἐν τῷ πρὸς Πάγκαλον. Ἔοικεν ἀρχή τις εἶναι ἀποδεδειγμένη ἐπὶ τὸ ζητεῖν τὰ κοινὰ τοῦ δήμου, ὡς οἱ ζητηταὶ καὶ οἱ ἐν Παλλήνῃ μάστροι, ὡς Ἀριστοτέλης ἐν τῇ Πελληνέων (sic Valesius; Πελληνίων libri) πολιτείᾳ. Eadem Photius, ubi cod. vitiose Μαστεῖρες, et Suidas, apud quem: καὶ οἱ ἐν Πέλλῃ μαστροί. Μαστροί etiam apud Photium scribitur. Aristotelis mentionem ex more omittunt et Photius et Suidas. Cf. alteram glossam Photii: Μαστῆρες, οἱ τὰ φυγαδευτικὰ χρήματα εἰσπράττοντες· οἱονεὶ ζητηταὶ τῶν φυγαδευτικῶν χρημάτων τῶν ἀειφυγίαν φυγαδευθέντων. [Ἐκλήθησαν δὲ μαστῆρες ἀπὸ τῶν κυνηγῶν τῶν ἐν τοῖς μαστοῖς τῶν ὀρῶν ζητούντων τὰ θηρία, Lex. Rhet. in Bekk. An. p. 279, 6]; Hesychius: Μάστροι, παρὰ Ῥοδίοις (?) βουλευτῆρες (βουλευταὶ [οἱ καὶ] μαστῆρες conjecit Bernhardy ad Suid. v. Μαστῆρες). Idem: Ματήρ (μαστήρ?), ἐπιζητῶν, ἐρευνητής, ἐπίσκοπος. Ceterum de ζητηταῖς v. Hermann. *Staats-Alterth.* § 133, 2; Schœmann. Antiqq. p. 257, 7; 231, 6; 249, 6, et quos laudant. — Formam Πελληνίων grammatico concesserim, quamquam Aristoteles scripserit Παλληνέων. Stephan. v. Πελλήνη: Ἡ μὲν Πελλήνη δύο μόνα ἐθνικὰ ἔχει, τὸ εἰς εύς καὶ τὸ διὰ τοῦ ιος, ἡ δὲ Παλλήνη διὰ τοῦ α τέσσαρα, Παλληνεύς, Παλλήνιος, Παλληναῖος, Παλληνίτης. Ceterum Πελληναίων habes in codd. Ciceron. Ad Att. II, 2, quo loco docemur Dicæarchum quoque de Rep. Pellenensium scripsisse.

---

ὀφελλοὺς eos (obolos sive obelos) per tempus aliquod appellatos esse dicit: etenim ὀφέλλειν significare *augere*, ab eoque ὀφελλοὺς dictos esse, quod forma eorum in longitudinem se extendens augeatur; ab ὀφέλλειν etiam τὸ ὀφείλειν verbum derivare, nescio quomodo. Ceterum in voce ὀδελός literam φ in cognatam literam β abiisse.

[101 a.]

[Mutatur etiam in tyrannidem tyrannis, quemadmodum Sicyone Myronis tyrannis in illam Clisthenem mutata est.]

[Ex omnibus rebuspublicis oligarchia et tyrannis citissime delentur. Diutissime enim stetit ea quæ Sicyone fuit Orthagoræ liberorum et ipsius Orthagoræ tyrannis: annos enim centum permansit. Cujus rei causa est quod subjectos moderate tractabant et plurimum legibus serviebant. Et Clisthenes, quia bellicosus erat, non fuit contemptui habitus: item populares indulgenter habebant, ipsorum rebus consulendo. Dicitur enim Clisthenes eum qui victoriam ab ipso abjudicarat, corona donasse; nonnulli autem statuam illam in foro sedentem ejus qui ita judicavit, simulacrum esse dicunt.]

PELLENENSIUM.

102.

Μαστῆρες, inquisitores, magistratus quidam constitutus ad pecunias publicas colligendas, velut ζητηταί et apud Pellenenses μάστροι, ut tradit Aristoteles in Rep. Pellenensium.

## [ΚΟΡΙΝΘΙΩΝ.]

[102 a.]

[Arist. Pol. V, 9, 22 : Δευτέρα (quod ad tempus, per quod stetit) δὲ περὶ Κόρινθον ἡ τῶν Κυψελιδῶν (sc. τυραννίς)· καὶ γὰρ αὕτη διετέλεσεν ἔτη τρία [ἑπτὰ Sylb.; ἓξ Müller. Ægin. p. 64, *Dor.* I, 163] καὶ ἑβδομήκοντα καὶ ἓξ μῆνας. Κύψελος μὲν γὰρ ἐτυράννησεν ἔτη τριάκοντα, Περίανδρος δὲ τετταράκοντα καὶ τέτταρα. Ψαμμήτιχος δ' ὁ Γορδίου τρία ἔτη. Τὰ δ' αἴτια ταυτὰ καὶ ταύτης· ὁ μὲν γὰρ Κύψελος δημαγωγὸς ἦν, καὶ κατὰ τὴν ἀρχὴν διετέλεσεν ἀδορυφόρητος, Περίανδρος δ' ἐγένετο μὲν τυραννικὸς, ἀλλὰ πολεμικός. (Incongrua locus continet; v. interpr.).

V. 8, 4 : Κύψελος ἐν Κορίνθῳ.. ἐκ δημαγωγίας ad tyrannidem pervenit.

III, 8, 3 : Διὸ καὶ τοὺς ψέγοντας τὴν τυραννίδα καὶ τὴν Περιάνδρου Θρασυβούλῳ συμβουλίαν οὐχ ἁπλῶς οἰητέον ὀρθῶς ἐπιτιμᾶν. Φασὶ γὰρ τὸν Περίανδρον εἰπεῖν μὲν οὐδὲν πρὸς τὸν πεμφθέντα κήρυκα περὶ τῆς συμβουλίας, ἀφαιροῦντα δὲ τοὺς ὑπερέχοντας τῶν σταχύων ὁμαλῦναι τὴν ἄρουραν· ὅθεν ἀγνοοῦντος μὲν τοῦ κήρυκος τοῦ γινομένου τὴν αἰτίαν, ἀπαγγείλαντος δὲ τὸ συμπεσὸν, συννοῆσαι τὸν Θρασύβουλον, ὅτι δεῖ τοὺς ὑπερέχοντας ἄνδρας ἀναιρεῖν. Eadem iterum tangit V, 8, 7.

V, 9, 2 : Τούτων (sc. οἷς αἱ τυραννίδες σώζονται) τὰ πολλά φασι καταστῆσαι Περίανδρον τὸν Κορίνθιον.

V, 9, 4 : Καὶ τὸ πένητας ποιεῖν τοὺς ἀρχομένους, τυραννικόν... Παράδειγμα δὲ τούτου.. καὶ τὰ ἀναθήματα τῶν Κυψελιδῶν.

V, 5, 9 : Γίνεται δὲ μεταβολὴ τῶν ὀλιγαρχιῶν καὶ ἐν πολέμῳ καὶ ἐν εἰρήνῃ· ἐν μὲν πολέμῳ διὰ τὴν πρὸς τὸν δῆμον ἀπιστίαν στρατιώταις ἀναγκαζομένων χρῆσθαι· ᾧ γὰρ ἂν ἐγχειρίσωσιν, οὗτος πολλάκις γίνεται τύραννος, ὥσπερ ἐν Κορίνθῳ Τιμοφάνης.]

De Periandro cf. Diog. L. I, 99 : Καὶ Ἀριστοτέλης μὲν τὸν Κορίνθιόν (sc. Περίανδρον) φησιν εἶναι τὸν σοφόν (quem Ambraciotam Periandrum fuisse opinatus est Neanthes.)

## ΜΕΓΑΡΕΩΝ.

103.

Strabo VII, p. 322 : Ἐν δὲ τῇ τῶν Αἰτωλῶν (πολιτείᾳ Ἀριστοτέλης) τοὺς νῦν Λοκροὺς Λέλεγας καλεῖ· κατασχεῖν δὲ καὶ τὴν Βοιωτίαν αὐτούς φησιν· ὁμοίως δὲ καὶ ἐν τῇ Ὀπουντίων καὶ Μεγαρέων (πολιτείᾳ).

[104.]

[Arist. Pol. V, 4, 5 : Tyrannidem occupavit Θεαγένης ἐν τοῖς Μεγάροις τῶν εὐπόρων τὰ κτήνη ἀποσφάξας, λαβὼν παρὰ τὸν ποταμὸν ἐπινέμοντας.

V, 4, 3 : Παραπλησίως δὲ καὶ ἡ ἐν Μεγάροις κατελύθη δημοκρατία· οἱ γὰρ δημαγωγοὶ, ἵνα χρήματα ἔχωσι δημεύειν, ἐξέβαλλον πολλοὺς τῶν γνωρίμων, ἕως πολλοὺς ἐποίησαν τοὺς φεύγοντας· οἱ δὲ κατιόντες ἐνίκησαν μαχόμενοι τὸν δῆμον καὶ κατέστησαν τὴν ὀλιγαρχίαν. Συνέβη δὲ ταὐτὸν καὶ περὶ Κύμην ἐπὶ τῆς δημοκρατίας ἣν κατέλυσε Θρασύμαχος.

V, 2, 6 : Ἡ Μεγαρέων (δημοκρατία διεφθάρη) δι' ἀταξίαν καὶ ἀναρχίαν ἡττηθέντων.

---

[102 a.]

[Proxime diuturna fuit Cypselidarum tyrannis Corinthi : hæc enim firma permansit annos septuaginta tres et sex menses. Nam Cypselus annos triginta regnavit : Periander quadraginta quattuor; Psammetichus, Gordiæ filius, annos tres. Causæ autem hujus quoque sunt eædem. Nam Cypselus quidem populum indulgenter tractabat, nec ab initio præsidio ad sui corporis custodiam usus est. Periander vero fuit ille quidem tyrannicus, sed tamen bellicosus.]

[Cypselus Corinthi ex demagogia ad tyrannidem pervenit.]

[Quocirca et ii qui tyrannidem consiliumque quod dedit Periander Thrasybulo, vituperant, non sunt existimandi simpliciter id recte reprehendere. Aiunt enim Periandrum nihil illum quidem ei nuntio qui missus fuerat, de eo quod consuleretur, respondisse; sed spicas eminentes demendo segetem adæquasse, ex quo quum facti causam nuntius ignoraret, id autem quod accidisset renuntiasset, intellexisse Thrasybulum, viros supereminentes de medio esse tollendos.]

[Eorum, quibus tyrannides conservantur, pleraque instituisse Periandrum Corinthium ferunt.]

[Etiam cives spoliare bonis tyrannicum est. Hujus rei exemplum præbent ... Cypselidarum dona diis consecrata.]

[Fit porro etiam et in bello et in pace oligarchiarum mutatio : in bello quidem dum propterea quod populi fidem habent suspectam, militibus externis coguntur uti : cui enim exercitum tradiderint, hic sæpenumero tyrannus efficitur, quemadmodum Corinthi Timophanes.]

## MEGARENSIUM.

103.

In Ætolorum Rep. Aristoteles quos nunc Locros dicimus Leleges appellat, tenuisseque etiam Bœotiam eos refert. Similia habet etiam in Opuntiorum et in Megarensium Republica.

[104].

[Tyrannidem occupavit Theagenes Megaris, quum is locupletium pecora ad fluvium pascentia jugulasset.]

[Similiter et quæ Megaris erat democratia dissoluta est : nam populi ductores ut bona privatorum publicare possent, multos nobiles e civitate exterminarunt usque eo donec magnum exulum numerum fecerunt. Illi autem in civitatem ab exilio reversi signis collatis populum superarunt et oligarchiam ex democratia fecerunt. Idem porro Cumis accidit, qua in urbe democratiam Thrasymachus funditus delevit.]

[Megarensium democratia, quum propter rerum et imperii perturbationem superati essent, deleta est.]

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

SAVE $3,999,994

Did you know we sell paperback books too?

To buy our entire catalog in paperback would cost over $4,000,000

Access it all now for $8.99/month

*Fair usage policy applies

Continue

Ἄντων ἦν ὄνομα τῷ ἐραστῇ, τῷ δὲ ἐρωμένῳ Φίλιστος, ὡς ἐν τοῖς Αἰτίοις Διονύσιος ὁ ποιητὴς ἱστόρησε.

Allata procul dubio e nostro Aristotele fluxerunt, quanquam alius Aristoteles, Chalcidensis patria, de rebus Eubœæ librum scripserat, teste Harpocratione v. Ἄργουρα : Ἔστι δὲ πόλις τῆς Εὐβοίας ἐν τῇ Χαλκιδικῇ κειμένη, ὡς Ἀριστοτέλης ὁ Χαλκιδεὺς ἐν τῷ Περὶ Εὐβοίας (Cf. Steph. Byz. s. v. : Τόπος Εὐβοίας, ὅπου δοκεῖ τὸν Πανόπτην Ἑρμῆς πεφονευκέναι. Apollodor. fr. 152). Schol. Apollon. Rh. I, 558 : Σουίδας καὶ Ἀριστοτέλης, οἱ περὶ Εὐβοίας πεπραγματευμένοι, et alii (quos v. in fr. 6 Dionysii Chalcidensis) de matre Achillis aliter ac vulgo fit statuunt. Fortasse Aristoteles Chalcidensis erat Pepli auctor.

[108.]

[Arist. Pol. V, 3, 6 : Ἐν Χαλκίδι Φόξον τὸν τύραννον μετὰ τῶν γνωρίμων ὁ δῆμος ἀνελὼν εὐθὺς εἴχετο τῆς πολιτείας.

V, 10, 3 : (Μεταβάλλει) καὶ εἰς ὀλιγαρχίαν (τυραννίς), ὥσπερ ἡ ἐν Χαλκίδι ἡ Ἀντιλέοντος.]

De oligarchia Chalcidensium cf. fr. 109.

[ΕΡΕΤΡΙΕΩΝ.]

[109.]

[Arist. Pol. IV, 3, 2 : Ἐπὶ τῶν ἀρχαίων χρόνων ὅσαις πόλεσιν ἐν τοῖς ἵπποις ἡ δύναμις ἦν, ὀλιγαρχίαι παρὰ τούτοις ἦσαν. Ἐχρῶντο δὲ πρὸς τοὺς πολεμίους ἵπποις πρὸς τοὺς ἀστυγείτονας, οἷον Ἐρετριεῖς καὶ Χαλκιδεῖς καὶ Μάγνητες οἱ ἐπὶ Μαιάνδρῳ καὶ τῶν ἄλλων πολλοὶ περὶ τὴν Ἀσίαν.

Pol. V, 5, 10 : Γίνονται δὲ στάσεις καὶ ἐκ τοῦ περιωθεῖσθαι ἑτέρους ὑφ' ἑτέρων τῶν ἐν τῇ ὀλιγαρχίᾳ αὐτῶν, καὶ καταστασιάζεσθαι κατὰ γάμους ἢ δίκας· οἷον ἐκ γαμικῆς μὲν αἰτίας αἱ εἰρημέναι πρότερον· καὶ τὴν ἐν Ἐρετρίᾳ δ' ὀλιγαρχίαν τὴν τῶν ἱππέων Διαγόρας κατέλυσεν ἀδικηθεὶς περὶ γάμον.] Cf. de Eretria fr. 106.

[ΩΡΕΙΤΩΝ.]

[109 a.]

[Arist. Pol. V, 2, 9 : Μεταβάλλουσι δ' αἱ πολιτεῖαι καὶ ἄνευ στάσεως... δι' ὀλιγωρίαν, ὅταν ἐάσωσιν εἰς τὰς ἀρχὰς τὰς κυρίας παριέναι τοὺς μὴ τῆς πολιτείας φίλους, ὥσπερ ἐν Ὠρεῷ κατελύθη ἡ ὀλιγαρχία τῶν ἀρχόντων γενομένου Ἡρακλεοδώρου, ὃς ἐξ ὀλιγαρχίας πολιτείαν καὶ δημοκρατίαν κατεσκεύασεν.]

[ΕΣΤΙΑΙΕΩΝ.]

[109 b.]

[Id. Pol. V, 3, 2 : Ὅλως δὲ αἱ τῶν γνωρίμων στάσεις συναπολαύειν ποιοῦσι καὶ τὴν ὅλην πόλιν· οἷον ἐν Ἑστιαίᾳ συνέβη μετὰ τὰ Μηδικά, δύο ἀδελφῶν περὶ τῆς πατρῴας νομῆς διενεχθέντων· ὁ μὲν γὰρ ἀπορώτερος, ὡς οὐκ ἀποφαίνοντος θατέρου τὴν οὐσίαν οὐδὲ τὸν θησαυρὸν, ὃν εὗρεν ὁ πατὴρ, προσήγετο τοὺς δημοτικούς, ὁ δ' ἕτερος ἔχων οὐσίαν πολλὴν τοὺς εὐπόρους.]

---

Dionysius poeta in Ætiis, Antonem amatoris, amasii nomen Philistum prodit.

[Argura, Eubœæ urbs in Chalcidensium regione, ut Aristoteles Chalcidensis ait in libro De Eubœa.]

[108.]

[Chalcide populus, quum Phoxum tyrannum cum illustribus et claris viris sustulisset, continuo se ad politiam contulit atque applicavit.]

[Transfertur tyrannis et in oligarchiam, ut in Chalcide tyrannis Antileontis.]

[ERETRIENSIUM.]

[109.]

[Priscis illis temporibus, quibus civitatibus potentia in equitatu consistebat, apud has erant oligarchiæ. Utebantur autem equis in hostes quos habebant finitimos, v. g. Eretrienses et Chalcidenses, et Magnetes qui Mæandrum accolebant et multi alii Asiæ populi.]

[Oriuntur etiam seditiones ex mutuis offensis quas pauci dominantes inter se exercent, dum matrimonii judiciorumve causa simultates per factiones suscipiunt, v. gr. ex causa nuptiali seditiones quas ante diximus, ortæ sunt. Oligarchiam porro Eretriensem, quam equites obtinebant, Diagoras sustulit, accepta injuria in negotio matrimonii.]

[ORITARUM.]

[109 a.]

[Mutantur porro respublicæ etiam sine seditione per incuriam, quum eos qui a reipublicæ forma alieno sunt animo ad amplissimos magistratus pervenire sinunt : quemadmodum Orei sublata oligarchia est eo quod Heracleodorus in prætorum collegium cooptatus fuerat, qui ex oligarchia politiam et democratiam fecit.]

[HESTIÆENSIUM.]

[109 b.]

[Omnino autem optimatium seditiones totam civitatem in eandem fraudem trahunt : quale illud est quod Hestiææ accidit post bellum Medicum, nato inter duos fratres de bonorum paternorum divisione dissidio. Nam is, cujus res familiaris erat angustior, quum alter rem a patre relictam non exhiberet, neque thesaurum, quem pater invenerat, proferret, populares sibi adjunxit; alter rei familiaris copiis abundans, locupletes.]

## ΘΗΒΑΙΩΝ.

110.

Zenob. VI, 17 : Τί οὐκ ἀπήγξω, ἵνα Θήβησιν ἥρως γένῃ; Ταύτης Πλάτων ἐν Μενέλεῳ μέμνηται. Φασὶ δὲ ὅτι ἐν Θήβαις οἱ ἑαυτοὺς ἀναιροῦντες οὐδεμιᾶς τιμῆς μετεῖχον. Καὶ Ἀριστοτέλης δέ φησι περὶ Θηβαίων τὸ αὐτὸ τοῦτο, ὅτι τοὺς αὐτόχειρας ἑαυτῶν γινομένους οὐκ ἐτίμων. Τὸ οὖν Ἵνα ἥρως γένῃ κατ' εὐφημισμὸν εἴρηται. Eadem Plutarch. prov. 47, Suidas, Photius.

111.

Plutarch. Pelopid. c. 18, ubi de ἱερῷ λόχῳ Thebanorum sermo est : Ἔνιοι δέ φασιν ἐξ ἐραστῶν καὶ ἐρωμένων γενέσθαι τὸ σύστημα τοῦτο.... Λέγεται δὲ καὶ τὸν Ἰόλεων τοῦ Ἡρακλέους ἐρώμενον ὄντα κοινωνεῖν τῶν ἄθλων καὶ παρασπίζειν. Ἀριστοτέλης δὲ καθ' αὐτὸν ἔτι φησὶν ἐπὶ τοῦ τάφου τοῦ Ἰόλεω τὰς καταπιστώσεις ποιεῖσθαι τοὺς ἐρωμένους καὶ τοὺς ἐραστάς. Εἰκὸς οὖν καὶ τὸν λόχον ἱερὸν προσαγορεύεσθαι, καθότι καὶ Πλάτων ἔνθεον φίλον τὸν ἐραστὴν προσεῖπε. De Iolai tumulo, gymnasio, ludis v. Pausan. IX, 23. Bœckh. ad Pindar. Olymp. VII, 23. IX, 99, coll. Pyth. IX, 99; Nem. IV, 20, ibique schol. — De ἱερῷ λόχῳ v. quos laudat Hermann. Antiqq. gr. § 181, 2, coll. Müller. *Dor.* II, 297.

[112.]

[Arist. Pol. II, 9, 6 : Ἐγένετο δὲ καὶ Φιλόλαος ὁ Κορίνθιος νομοθέτης Θηβαίοις. Ἦν δ' ὁ Φιλόλαος τὸ μὲν γένος τῶν Βακχιαδῶν, ἐραστὴς δὲ γενόμενος Διοκλέους τοῦ νικήσαντος Ὀλυμπίασιν, ὡς ἐκεῖνος τὴν πόλιν ἔλιπε, διαμισήσας τὸν ἔρωτα τὸν τῆς μητρὸς Ἀλκυόνης, ἀπῆλθεν εἰς Θήβας, κἀκεῖ τὸν βίον ἐτελεύτησαν ἀμφότεροι· καὶ νῦν ἔτι δεικνύουσι τοὺς τάφους αὐτῶν ἀλλήλοις μὲν εὐσυνόπτους ὄντας, πρὸς δὲ τὴν τῶν Κορινθίων χώραν τοῦ μὲν συνόπτου, τοῦ δ' οὐ συνόπτου. Μυθολογοῦσι γὰρ αὐτοὺς οὕτω τάξασθαι τὴν ταφήν, τὸν μὲν Διοκλέα, διὰ τὴν ἀπέχθειαν τοῦ πάθους, ὅπως μὴ ἄποπτος ἔσται ἡ Κορινθία ἀπὸ τοῦ χώματος, τὸν δὲ Φιλόλαον, ὅπως ἄποπτος. Ὤκησαν μὲν οὖν διὰ τὴν τοιαύτην αἰτίαν παρὰ τοῖς Θηβαίοις, νομοθέτης δ' αὐτοῖς ἐγένετο Φιλόλαος περί τ' ἄλλων τινῶν καὶ περὶ τῆς παιδοποιίας, οὓς καλοῦσιν ἐκεῖνοι νόμους θετικούς· καὶ τοῦτ' ἐστὶν ἰδίως ὑπ' ἐκείνου νενομοθετημένον, ὅπως ὁ ἀριθμὸς σώζηται τῶν κλήρων.] V. Müller. *Min.* p. 407 sq., *Dor.* II, p. 200.

[113.]

[Id. Pol. V, 5, 10 : Ἐκ δὲ δικαστηρίου κρίσεως ἡ ἐν Ἡρακλείᾳ στάσις ἐγένετο καὶ ἐν Θήβαις ἐπ' αἰτίᾳ μοιχείας, δικαίως μὲν στασιωτικῶς δὲ ποιησαμένων τὴν κόλασιν, τῶν μὲν ἐν Ἡρακλείᾳ κατ' Εὐρυτίωνος, τῶν δ' ἐν Θήβαις κατ' Ἀρχίου· ἐφιλονείκησαν γὰρ αὐτοὺς οἱ ἐχθροί, ὥστε δεθῆναι ἐν ἀγορᾷ ἐν τῷ κύφωνι.]

« Perizonius huc retulit narrationem Æliani V. H. XI, 7 : Συνέβη τινὰ μοιχὸν ἁλῶναι ἐν Θεσπιαῖς, εἶτα ἤγετο διὰ τῆς ἀγορᾶς δεδεμένος· ἀφείλοντο οὖν αὐτὸν οἱ ἑταῖροι· ἐξήφθη οὖν στάσις καὶ συνέπεσε γενέσθαι φόνους πολλούς. Is præterea nomen urbis in alterutro scriptore vitiosum esse suspicatur. Potest tamen fieri ut Archias fuerit Thebanus, Thespiis autem in adulterio deprehensus et punitus fuerit. » Schneider.

## THEBANORUM.

110.

*Quidni te suspendisti, Thebis ut heros fias?* Hujus Plato in Menelao meminit. Referunt enim Thebis mortem qui sibi conscivisset, infamem habitum. Idem de Thebanis Aristoteles quoque commemorat, nempe qui sibi manus attulissent, nullo in honore fuisse. Illud itaque, *ut heros fias*, per euphemismum dictum est.

111.

Nonnulli tradunt cohortem eam ex iis conflatam qui se mutuo amarent... Ferunt etiam Iolaum Herculis amasium una cum eo certamina obiisse, auxiliumque tulisse amatori. Et Aristoteles sua etiam ætate ait apud sepulcrum Iolai amatores et amasios mutua se fide obligare. Consentaneum itaque est, ea ratione cohortem sacram nominatam qua Plato amatorem divini amici nomine insignit.

[112.]

[Fuit et Philolaus Corinthius Thebanis legum auctor. Erat autem Philolaus ex Bacchiadarum genere; sed quum Dioclis ejus, qui vicit Olympia, amator esset, ille autem insanum matris Halcyonæ amorem aspernatus ac detestatus urbem reliquisset, Thebas una cum eo profectus est, ibique ambo mortui sunt, atque etiam nunc eorum sepulcra ostendunt, ita posita, ut alterum quidem ex altero facile conspici possit; sed Corinthiorum agro alterum sit in conspectu positum, alterum non sit. Fabulantur enim eos ita sua sepulcra fieri ac locari jussisse : Dioclem quidem propter odium casus infandi, ut ne ex sepulcri aggere ager Corinthius prospici possel; Philolaum autem ita, ut posset. Habitabant igitur propter talem causam apud Thebanos. Leges autem iis scripsit Philolaus, quum de quibusdam aliis rebus, tum de adoptione liberorum, quas vocant illi leges adoptivas. Atque hoc proprie legibus illis constitutum est, ut bonorum, quæ cuique sorte obtigissent, numerus servaretur.]

[113.]

[Seditio quæ Heracleæ exarsit, ex judiciali sententia orta est; et ea quæ Thebis, ex eo, quod ob crimen adulterii pœnas justas quidem, sed factiose sumpsissent, Heracleenses quidem de Eurytione, Thebani autem de Archia : odio enim suo pervicerunt ejus inimici, ut in foro vinctus numellæ adstringeretur.]

[114.]

[Id. Pol. VI, 4, 5 : Τὴν δὲ μετάδοσιν γίνεσθαι (δεῖ) τῷ πλήθει τοῦ πολιτεύματος ἤτοι... τοῖς τὸ τίμημα κτωμένοις, ἢ καθάπερ Θηβαίοις, ἀποσχομένοις χρόνον τινὰ τῶν βαναύσων ἔργων.

Pol. III, 3, 4 : Ἐν Θήβαις δὲ νόμος ἦν τὸν δέκα ἐτῶν μὴ ἀπεσχημένον τῆς ἀγορᾶς μὴ μετέχειν ἀρχῆς.

Pol. V, 2, 6 : Διὰ καταφρόνησιν δὲ καὶ στασιάζουσι καὶ ἐπιτίθενται... ἐν ταῖς δημοκρατίαις οἱ εὔποροι καταφρονήσαντες τῆς ἀταξίας καὶ ἀναρχίας, οἷον καὶ ἐν Θήβαις μετὰ τὴν ἐν Οἰνοφύτοις μάχην κακῶς πολιτευομένων ἡ δημοκρατία διεφθάρη. ]

## ΟΡΧΟΜΕΝΙΩΝ.

115.

Tzetzes ad Hesiod. Proœm. p. 7 sq. ed. Gsfd. : Ἀριστοτέλης γὰρ ὁ φιλόσοφος (μᾶλλον δὲ οἶμαι ὁ τοὺς Πέπλους συντάξας) ἐν τῇ Ὀρχομενίων πολιτείᾳ Στησίχορον τὸν μελοποιὸν εἶναί φησιν υἱὸν Ἡσιόδου, ἐκ τῆς Κλυμένης αὐτῷ γεννηθέντα τῆς Ἀμφιφάνους καὶ Γανύκτορος ἀδελφῆς, θυγατρὸς δὲ Φηγέως. — Κλυμένης.] Mss. κτημένης. « Emendavimus post Wyttenbach. ad Plutarch. p. 162 ex Proclo ad Ἔργ. 268. » Gaisf.

Proclus ad Hesiod. Op. et D. 631 : Ἀοίκητον δὲ αὐτὸ (Ascram oppidulum) ὁ Πλούταρχος ἱστορεῖ καὶ τότε εἶναι, Θεσπιέων ἀνελόντων τοὺς οἰκοῦντας, Ὀρχομενίων δὲ τοὺς σωθέντας δεξαμένων· ὅθεν καὶ τὸν θεὸν Ὀρχομενίοις προστάξαι τὰ Ἡσιόδου λείψανα λαβεῖν, καὶ θάψαι παρ' αὐτοῖς, ὡς καὶ Ἀριστοτέλης φησί, γράφων τὴν Ὀρχομενίων πολιτείαν.

Cf. Tzetzes l. l. : Ὀρχομένιοι δὲ ὕστερον κατὰ χρησμὸν ἐνεγκόντες τὰ Ἡσιόδου ὀστᾶ θάπτουσιν ἐν μέσῃ τῇ ἀγορᾷ, καὶ ἐπέγραψαν τάδε·

Ἄσκρη μὲν πατρὶς πολυλήιος, ἀλλὰ θανόντος
ὀστέα πληξίππων γῆ Μινυῶν κατέχει
Ἡσιόδου, τοῦ πλεῖστον ἐν ἀνθρώποις κλέος ἐστίν,
ἀνδρῶν κρινομένων ἐν βασάνοις σοφίης.

Ἐπέγραψε δὲ καὶ Πίνδαρος· Χαῖρε δὶς κτλ. Pausan. IX, 38, 3, ubi idem epigramma affertur.

Appendix Proverb. IV, 92, p. 456 ed. Leutsch. et Schneidew. : Τὸ Ἡσιόδειον γῆρας: Ἀριστοτέλης ἐν Ὀρχομενίων πολιτείᾳ δὶς τεθάφθαι φησὶ τὸν Ἡσίοδον, καὶ ἐπιγράμματος τοῦδε τυχεῖν·

Χαῖρε δὶς ἡβήσας καὶ δὶς τάφου ἀντιβολήσας,
Ἡσίοδ', ἀνθρώποις μέτρον ἔχων σοφίης·

παρόσον τό τε γῆρας ἀπέβη, καὶ δὶς ἐτάφη.

Pindaro epigramma tribuit cum schol. etiam Suidas. V. Bœckh. Explic. Pindar. p. 554. Ceterum Tzetzes quum epigramma ex Aristotelis libris De rebuspublicis allatum reperiret, ejusmodi epigrammata vero sciebat legi in Peplo Aristotelis, pro judicii levitate sua putavit ipsum istud de Hesiodo epigramma e Peplo petitum esse. Ac nescio an revera etiam in Peplo legere erat. Certe novit epigramma nostrum Pepli auctor, qui ita consarcinavit epitaphium Ascalaphi :

Ἀσκαλάφου Τροίῃ φθιμένου καὶ Ἰαλμένοιο,
ὀστέα πληξίππων γῆ Μινυῶν κατέχει.

Ceterum recte, puto, Tzetzes Pepli auctorem a Rerumpublicarum scriptore diversum esse censet. Quanquam aliter visum Schneidewino (Philologus, fasc. 1 init.)

116.

Pollux X, 165 : Καὶ ὅταν ἐν Ἀχαρνεῦσιν εἴπῃ Ἀριστοφάνης ἀχάνας χρυσίου, τὸ ἀγγεῖον ἴσως Περσικόν· ἔνιοι δὲ τὴν θεωρικὴν κίστην οὕτω κεκλῆσθαι νομίζουσιν· ἐν δὲ Ἀριστοτέλους Ὀρχομενίων πολιτείᾳ μέτρον ἐστὶ τετταράκοντα πέντε μεδίμνους χωροῦν Ἀττικούς.

---

[114.]

[Communicari cum multitudine reipublicæ administratio debet ut, quemadmodum antea dictum est, cum iis qui censum justum nacti fuerint, aut more Thebanorum cum iis, qui certo tempore ab opificiis abstinuerint.

Thebis lex erat, ne, qui non decem annos foro rerum venalium abstinuisset, magistratum capere posset.

Propter contemptum seditionem excitant et impetu facto in alios invadunt... in democratiis locupletes contempla confusione et perturbatione rerum imperiique : cujusmodi quiddam et Thebis accidit post pugnam in Œnophytis commissam : quo tempore, quod respublica male administraretur a populo, democratia funditus oppressa est. ]

## ORCHOMENIORUM.

115.

Aristoteles philosophus (vel potius, mea quidem sententia, Pepli auctor) in Orchomeniorum Republica Stesichorum lyricum ait filium esse Hesiodi e Clymene natum, Amphiphanis et Ganyctoris sorore, Phegeique filia.

Ascram etiam tunc desertam fuisse Plutarchus narrat, incolis a Thespiensibus trucidatis, iisque qui stragem effugerant, ab Orchomeniis in urbem receptis. Unde etiam deum Orchomeniis imperasse, ut Hesiodi reliquiis polirentur easque apud ipsos sepulcro conderent. Tradit hoc etiam Aristoteles, qui Orchomeniorum rempublicam scripsit.

Aristoteles in Orchomeniorum rep. Hesiodum dicit bis sepultum, atque hocce nactum epigramma esse :

Salve, iterum pubescens ac bis condite, salve,
Hesiode, humanæ qui modus es sophiæ.

116.

Achane in Aristotelis Republica Orchomeniorum mensura est, quæ continet quadraginta quinque modios Atticos.

λεγόμενος βασιλεὺς οὐκ ἔστιν εἶδος, καθάπερ εἴπομεν, πολιτείας· ἐν πάσαις γὰρ ὑπάρχειν ἐνδέχεται στρατηγίαν ἀΐδιον, οἷον ἐν δημοκρατίᾳ καὶ ἀριστοκρατίᾳ, καὶ πολλοὶ ποιοῦσιν ἕνα κύριον τῆς διοικήσεως· τοιαύτη γὰρ ἀρχή τίς ἐστι καὶ περὶ Ἐπίδαμνον, καὶ περὶ Ὀποῦντα δὲ κατά τι μέρος ἔλαττον.]

[Id. ib. I, 4, 4: Ἐν Λοκροῖς νόμος ἐστὶ μὴ πωλεῖν, ἐὰν μὴ φανερὰν ἀτυχίαν δείξῃ συμβεβηκυῖαν, ἔτι δὲ τοὺς παλαιοὺς κλήρους διασώζειν.] Num de Opuntiis an de Epizephyriis potissimum auctor cogitaverit, incertum. Lex utrorumque ingenio accommodata. Huc posui locum, quia alio loco (II, 9, 5) Aristoteles de Italis Locris loquens expresse appellat Epizephyrios; tertio loco (V, 6, 7), qui ad Locros Epizephyrios pertinet, simpliciter quidem Locri nominantur, sed res narrata talis est, ut distinctionis nota non opus esset. Ceterum cf. Müller, *Dor.* II, p. 200, 229.

## ΦΩΚΕΩΝ.

124.

Clem. Al. Strom. I, p. 334 B. p. 144, 35 Sylb.: Ἐξήκεστός τε ὁ Φωκέων τύραννος δύο δακτυλίους φορῶν γεγοητευμένους, τῷ ψόφῳ τῷ πρὸς ἀλλήλους διῃσθάνετο τοὺς καιροὺς τῶν πράξεων. Ἀπέθανεν δὲ ὅμως δολοφονηθεὶς καίτοι προσημήναντος τοῦ ψόφου, ὥς φησιν Ἀριστοτέλης ἐν τῇ Φωκέων πολιτείᾳ.

[125.]

[Aristot. Pol. V, 3, 4: Ἐν Φωκεῦσιν ἐξ ἐπικλήρου στάσεως γενομένης περὶ Μνασέαν τὸν Μνήσωνος πατέρα καὶ Εὐθυκράτη τὸν Ὀνομάρχου, ἡ στάσις αὕτη ἀρχὴ τοῦ ἱεροῦ πολέμου κατέστη τοῖς Φωκεῦσιν.]

[126.]

[Idem. Pol. V, 3, 3: Ἐν Δελφοῖς, ἐκ κηδείας γενομένης διαφορᾶς, ἀρχὴ πασῶν ἐγένετο τῶν στάσεων τῶν ὕστερον· ὁ μὲν γὰρ οἰωνισάμενός τι σύμπτωμα, ὡς ἦλθεν ἐπὶ τὴν νύμφην, οὐ λαβὼν ἀπῆλθεν· οἱ δ' ὡς ὑβρισθέντες ἐνέβαλον τῶν ἱερῶν χρημάτων θύοντος, κἄπειτα ὡς ἱερόσυλον ἀπέκτειναν. Cf. Plutarch. Præc. Pol. c. 32, 15: Ἐν Δελφοῖς ὁ μέγιστος λέγεται γενέσθαι νεωτερισμὸς ὑπὸ Κράτητος, οὗ μέλλων θυγατέρα γαμεῖν Ὀργίλαος ὁ Φάλιδος, εἶτα τοῦ κρατῆρος αὐτομάτως ἐπὶ ταῖς σπονδαῖς μέσου ῥαγέντος, οἰωνισάμενος, καὶ καταλιπὼν τὴν νύμφην, ἀπῆλθε μετὰ τοῦ πατρός· ὁ δὲ Κράτης ὀλίγον ὕστερον θύουσιν αὐτοῖς ὑποβαλὼν χρυσίον τι τῶν ἱερῶν, κατεκρήμνισε τὸν Ὀργίλαον καὶ τὸν ἀδελφὸν ἀκρίτους, καὶ πάλιν τῶν φίλων τινὰς καὶ οἰκείων, ἱκετεύοντας ἐν τῷ ἱερῷ τῆς Προναίας, ἀνεῖλε· πολλῶν δὲ τοιούτων γενομένων ἀποκτείναντες οἱ Δελφοὶ τὸν Κράτητα καὶ τοὺς συστασιάσαντας, ἐκ τῶν χρημάτων, ἐναγικῶν προσαγορευθέντων, τοὺς κάτω ναοὺς ἀνῳκοδόμησαν.]

## ΑΙΤΩΛΩΝ. ΑΚΑΡΝΑΝΩΝ. ΛΕΥΚΑΔΙΩΝ.

127.

Strabo VII, p. 321: Ὅτι δὲ πλάνητες (οἱ Λέλεγες) καὶ μετ' ἐκείνων (τῶν Καρῶν) καὶ χωρὶς, καὶ ἐκ παλαιοῦ, καὶ αἱ Ἀριστοτέλους Πολιτεῖαι δηλοῦσιν· ἐν μὲν γὰρ τῇ Ἀκαρνάνων φησὶ, τὸ μὲν ἔχειν αὐτῆς Κούρητας, τὸ δὲ προσεσπέριον Λέλεγας, εἶτα Τηλεβόας· ἐν δὲ τῇ τῶν Αἰτωλῶν, τοὺς νῦν Λοκροὺς Λέλεγας καλεῖ· κατασχεῖν δὲ καὶ τὴν Βοιωτίαν αὐτούς φησιν· ὁμοίως δὲ καὶ ἐν τῇ Ὀπουντίων καὶ Μεγαρέων· ἐν δὲ τῇ Λευκαδίων καὶ αὐτόχθονα τινὰ Λέλεγα ὀνομάζει, τούτου δὲ θυγατριδοῦν Τηλεβόαν.

---

quam speciem. In omnibus enim rebus publicis contingere potest, ut sit imperium belli perpetuum, veluti in democratia et in aristocratia; et multi uni totius rei bellicæ administrandæ potestatem deferunt. Tale enim quoddam imperium habet civitas Epidamniorum et Opuntiorum, hæc tamen aliqua ex parte angustius.]

## PHOCENSIUM.

124.

Execestus, Phocensium tyrannus, duos gestans incantatos annulos, e sonitu, quem collisi inter se edebant, sciebat tempora rerum gerendarum: nihilominus obiit dolo interfectus, quamvis id ei prænuntiasset sonitus, ut ait Aristoteles in Rep. Phocensium.

[125.]

Quum apud Phocenses ex puella patri diviti superstiti inter Mnaseam Mnesonis patrem et Euthycratem Onomarchi seditio coorta esset, hæc seditio belli sacri Phocensibus origo fuit.

[126.]

Delphis orta ex affinitate dissensio fons et principium omnium, quæ posterius coortæ sunt, seditionum fuit. Sponsus enim nescio quid sinistri sibi portendi omine forte oblato auguratus, quum ad sponsam venisset, ea repudiata discessit. Illi vero ut contumeliam acceptam ulciscerentur, interea dum ille sacrificaret, de supellectile sacra aliquid in canistra ejus occulte conjecerunt, deinde eum, ut sacrilegum, necaverunt.

## ÆTOLORUM, ACARNANUM, LEUCADIORUM.

127.

Multum vagatos esse Leleges vel una cum Caribus vel absque iis inde ab antiquissimis temporibus etiam Aristoteles in Politiis declarat. Etenim in Acarnanum rep. ait, partem Acarnaniæ Curetes tenere, occidentalem Leleges, deinde Teleboas. Porro in Ætolorum rep. qui nunc Locros dicuntur Leleges nominat; eosdem etiam Bœotiam tenuisse ait. Similiter in Opuntiorum et Megarensium rebusp. In Leucadiorum vero rep. etiam autochthonem quendam Lelega commemorat, ejusque e filia nepotem Teleboam, hujus

τοῦ δὲ παῖδας δύο καὶ εἴκοσι Τηλεβόας, ὧν τινὰς οἰκῆσαι τὴν Λευκάδα.

[128.]

[Aristot. Pol. I, 4, 4 : Apud plures lege sancitum est τοὺς παλαιοὺς κλήρους διασώζειν· Τοῦτο δὲ λυθὲν καὶ περὶ Λευκάδα δημοτικὴν ἐποίησε λίαν τὴν πολιτείαν αὐτῶν· οὐ γὰρ ἔτι συνέβαινεν ἀπὸ τῶν ὡρισμένων τιμημάτων εἰς τὰς ἀρχὰς βαδίζειν. ]
V. Müller. *Dor.* II, p. 155.

## ΙΘΑΚΗΣΙΩΝ.

129.

Etym. M. v. Ἀρκείσιος, ὁ ἥρως, ὁ πάππος Ὀδυσσέως. Ἀριστοτέλης δὲ ἐν τῇ Ἰθακησίων Πολιτείᾳ, τὸν Κέφαλον οἰκοῦντα ἐν ταῖς ἀπ' αὐτοῦ κληθείσαις Κεφαληνίας νήσοις, ἄπαιδα ἐπιπολὺ ὄντα, ἐρόμενον τὸν θεὸν, κελευσθῆναι ᾧ ἂν ἐντύχῃ θήλει συγγενέσθαι. Παραγενόμενον δὲ εἰς πατρίδα καὶ δὴ ἐντυχόντα ἄρκτῳ, κατὰ χρησμὸν συγγενέσθαι. Τὴν δὲ ἐγκύμονα γενομένην, μεταβαλεῖν εἰς γυναῖκα, καὶ τεκεῖν παῖδα Ἀρκείσιον, ἀπὸ ἄρκτου.

Eadem ex Aristotele sine dubio narrantur in Heraclid. Pont. Pol. 37. De Cephalo cf. Heyn. ad Apollodor. II, 4, 7, et Müller. *Dor.* I, 232 sq.

130.

Eustath. ad Odyss. XVI, 118, p. 1796, 41 : Ἰστέον ὅτι γενεαλογοῦσι Διὸς μὲν καὶ Εὐρυοδείας Ἀρκείσιον, αὐτοῦ δὲ καὶ Χαλκομεδούσης Λαέρτην, τοῦ δὲ καὶ Ἀντικλείας Ὀδυσσέα, οὗ καὶ Πηνελόπης Τηλέμαχον, αὐτοῦ δὲ καὶ Πολυκάστης, τῆς Νέστορος, Περσέπτολιν. Ἀριστοτέλης δὲ ἐν Ἰθακησίων πολιτείᾳ καὶ Ἑλλάνικος (fr. 141) δὲ Τηλέμαχόν φασι Ναυσικάαν γῆμαι τὴν Ἀλκινόου καὶ γεννῆσαι τὸν Περσέπτολιν. Eadem tangit Etym. M. p. 144, 24 v. Ἀκρείσιος. Sec. Hesiod. fr. 100 Perseptolis est filius Telemachi et Polycastes Nestore natæ.

131.

Tzetz. ad Lycophr. 799 : Ἀριστοτέλης φησὶν ἐν Ἰθακησίων πολιτείᾳ, Εὐρυτᾶνας ἔθνος εἶναι τῆς Αἰτωλίας, ὀνομασθὲν ἀπὸ Εὐρύτου, παρ' οἷς εἶναι μαντεῖον Ὀδυσσέως. Τὸ δ' αὐτὸ καὶ Νίκανδρός φησιν ἐν Αἰτωλικοῖς.

132.

Photius Lex. v. Σκυτάλη, postquam de scytalæ apud Lacedæmonios usu dixit, addit : Ἐχρῶντο δ' αὐτῷ (deb. αὐτῇ) καὶ ἄλλοι, ὡς Ἀριστοτέλης ἐν τῇ Ἰθακησίων πολιτείᾳ μβ'. E Photio eadem Suidas, ubi legitur καὶ ἀλλοίως, ὡς Ἀρ. E Suida Musurus intulit in schol. Aldin. Arist. Ran. 1283. Videri possit Ithacensium Rempublicam in opere Aristotelico fuisse quadragesimam secundam. Grashofius pro μβ' olim fuisse putat φησὶ (aptius conjiceres μνημονεύει). Litera μ siglum suprascriptum habet in cod. Gal. Photii et in Suidæ cod. v*.

133.

Plutarch. Qu. Gr. c. 14, p. 294, D : « Τίνες οἱ παρ' Ἰθακησίοις Κολιάδαι; καὶ τίς ὁ Φάγιλος; » Τῷ Ὀδυσσεῖ μετὰ τὴν μνηστηροφονίαν οἱ ἐπιτήδειοι τῶν τεθνηκότων ἐπανέστησαν, μεταπεμφθεὶς δ' ὑπ' ἀμφοτέρων διαιτητὴς Νεοπτόλεμος, ἐδικαίωσε τὸν μὲν Ὀδυσσέα μεταναστῆναι καὶ φεύγειν ἐκ τῆς Κεφαλληνίας καὶ Ζακύνθου καὶ Ἰθάκης ἐφ' αἵματι, τοὺς δὲ τῶν μνηστήρων ἑταίρους καὶ οἰκείους ἀποφέρειν ποινὴν Ὀδυσσεῖ τῶν εἰς τὸν οἶκον ἀδικημάτων καθ' ἕκαστον ἐνιαυτόν. Αὐτὸς μὲν οὖν εἰς Ἰταλίαν μετέστη· τὴν δὲ ποινὴν τῷ υἱεῖ καθιερώσας, ἀποφέρειν ἐκέλευσε τοὺς

---

denique filios viginti duos Teleboas, quorum nonnulli Leucadem frequentaverint.

[128.]

[Apud plures lege sancitum est, ut veteres sortes conserventur. Quo more soluto etiam apud Leucadios respublica in democraticam plane formam abiit. Jam enim non amplius fiebat ut ex eo censu, quem jussit lex, ad munera magistratus eligerentur.]

## ITHACENSIUM.

129.

Aristoteles in Ithacensium rep. narrat Cephalum in Cephalenlis, quæ ab ipso nominantur, insulis habitantem, quum diu liberorum expers esset, consuluisse deum, qui imperasset ei ut cum femina, quæ primum fieret obviam, coiret. Reversum in patriam ursæque obviam factum, ex jussu oraculi iniisse eam. Hanc autem uterum gerentem in mulierem esse mutatam genuisseque filium, qui ἀπὸ ἄρκτου sive ab ursa nominatus sit Arcisius.

130.

Nimirum genealogiam ita constituunt, ut Jovis et Euryodiæ sit filius Arcisius, hujus et Chalcomedusæ Laertes, hujus et Anticleæ Ulysses, hujus et Penelopes Telemachus, hujus et Polycastes, Nestoris filiæ, Perseptolis. Aristoteles vero in Ithacensium rep. et Hellanicus Telemachum aiunt Nausicaam duxisse Alcinoi filiam, ex eaque genuisse Perseptolin.

131.

Aristoteles in Ithacensium rep. dicit Eurytanes populum esse Ætoliæ, ab Euryto nominatum, apud eosque esse oraculum Ulyssis.

132.

Scytala præter Lacedæmonios etiam alii utebantur, ut Aristoteles ait in Ithacensium rep.

133.

*Quinam sunt apud Ithacenses Colladæ, et quis Phagilus?* Adversus Ulyssem procorum ab ipso necatorum necessarii seditionem moverunt. Arbiter ascitus ab utraque parte Neoptolemus, judicavit debere Ulyssem ut sanguine inquinatum exulare Cephallenia, Zacyntho atque Ithaca: socios autem et familiares procorum quotannis pro damno rei familiari Ulyssis illato, ei pendere mulctam. Itaque

10.

Ἰθακησίους. Ἦν δ' ἄλφιτα, οἶνος, κηρία, ἔλαιον, ἅλες, ἱερεῖα πρεσβύτερα φαγίλων· φάγιλον δέ φησιν Ἀριστοτέλης τὸν ἀμνὸν εἶναι. Τοὺς δὲ περὶ Εὔμαιον ἐλευθερώσας ὁ Τηλέμαχος, κατέμιξεν εἰς τοὺς πολίτας, καὶ τὸ γένος ἐστὶ Κολιαδῶν ἀπ' Εὐμαίου, καὶ Βουκολιῶν ἀπὸ Φιλοιτίου.

## ΗΠΕΙΡΩΤΩΝ.

134.

Ibidem deinde Clearchus de Scythis hæc tradit : « Una legibus communibus primum usa erat gens Scytharum; deinde rursus omnium fuerunt miserrimi mortalium ob contumeliam injuriamque. Luxuriæ enim dediti erant, ut nemo alius populus magis, quum omnium rerum successu uterentur et divitiis omnibusque copiis abundarent. Apparet id autem etiam nunc ex vestitu et vitæ genere, quo hodieque duces eorum utuntur. Voluptati igitur maxime dediti, et primi omnium hominum in luxuriam effusi, eo progressi sunt contumeliæ, ut, quocumque venirent, nares hominum decurtarent. Quorum nepotes, postquam alio migrarunt, etiam nunc ab ea contumelia nomen habent. Uxores vero Scytharum corpora mulierum Thracicarum, eorum Thracum, qui ab occidente et a septentrione Scythis finitimi sunt, variegarunt, subulis picturas quasdam cuti illarum inserentes. Quare multis post annis Thracicæ mulieres, quæ eam contumeliam passæ erant, proprio quodam modo calamitatis notam deleverunt, reliquam etiam insuper cutem totam picturis variegantes : ut injuriæ et contumeliæ nota quæ illis inerat, varie multiplicata, ornatus nomine deleret probrum. Cunctis autem ita superbe Scythæ imperarunt, ut servitutis ministeria, quæ nemini non lacrimosa erant, etiam posteris declararent, quid illud fuerit quod *a Scythis dictum* vulgo aiunt. Propter multitudinem igitur malorum quæ illos premebant, quoniam ob luctum simul vitæ commoditates et comæ cujusque circumcirca populi abstrahebantur, externi populi tonsuram quæ fit contumeliæ causa, ἀπεσκυθίσθαι vocarunt.

9.

Tarentinos vero, ait Clearchus quarto libro Vitarum, robur et potentiam nactos, eo luxuriæ mollitieique progressos esse, ut totius corporis cutem lævigarent, et hujus deglabrationis exemplum aliis omnibus præirent. « Gestabant vero etiam omnes (inquit) splendidos vestibus prætextos limbos, quibus nunc luxuriat mollis feminarum vita. Deinde a luxuria ad contumeliam injuriamque progressi, eversa Carbina, uno ex Iapygiæ (sive Apuliæ) oppidis, pueros et virgines et in flore ætatis matronas in Carbinatarum delubra congregarunt, in quibus ipsi sedem figentes nuda illorum corpora totum diem spectanda exposuerunt, ut,

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

SAVE $3,999,994

Did you know we sell paperback books too?

To buy our entire catalog in paperback would cost over $4,000,000

Access it all now for $8.99/month

*Fair usage policy applies

Continue

μασώμενος πονήσειεν, οὐ πώποτε δὲ τὴν χεῖρα κατωτέρω τοῦ ὀμφαλοῦ προενέγκασθαι.

14.

Idem XII, p. 548, B: Περὶ δὲ Ἀναξάρχου Κλέαρχος ὁ Σολεὺς ἐν πέμπτῳ Βίων οὕτω γράφει· « Τῶν Εὐδαιμονικῶν καλουμένων Ἀναξάρχῳ, διὰ τὴν τῶν χορηγησάντων ἄγνοιαν περιπεσούσης ἐξουσίας, γυμνὴ μὲν ᾠνοχόει παιδίσκη πρόστιβος, ἡ προκριθεῖσα διαφέρειν ὥρᾳ τῶν ἄλλων, ἀνασύρουσα πρὸς ἀλήθειαν τὴν τῶν οὕτως αὐτῇ χρωμένων ἀκρασίαν. Ὁ δὲ σιτοποιὸς, χειρῖδας ἔχων καὶ περὶ τῷ στόματι κημὸν, ἔτριβε τὸ σταῖς, ἵνα μήτε ἱδρὼς ἐπιρρέοι, μήτε τοῖς φυράμασιν ὁ τρίβων ἐμπνέοι. »

Locum Zenobii (III, 41) ubi Clearchus ἐν πέμπτῳ laudatur de re, quam ex libro quarto Athenæus narrat, vide supra fr. 5.

## E LIBRO OCTAVO.

15.

Idem XII, p. 548, D: Πόσῳ γὰρ τούτων βελτίων Γοργίας ὁ Λεοντῖνος, περὶ οὗ φησιν ὁ αὐτὸς Κλέαρχος ἐν τῷ ὀγδόῳ τῶν Βίων, ὅτι διὰ τὸ σωφρόνως ζῆν σχεδὸν ὀγδοήκοντα ἔτη τῷ φρονεῖν συνεβίωσε. Καὶ ἐπεί τις αὐτὸν ἤρετο, τίνι διαίτῃ χρώμενος οὕτως ἐμμελῶς καὶ μετὰ αἰσθήσεως τοσοῦτον χρόνον ζήσειεν, Οὐδὲν πώποτε, εἶπεν, ἡδονῆς ἕνεκεν πράξας.

## E LIBRIS INCERTIS.

16.

Athenæus VIII, p. 344, C: Κλέαρχος δὲ ἐν τοῖς Περὶ βίων φίλιχθύν τινα ἀναγράφων, φησὶν οὕτως· « Τέχνων ὁ παλαιὸς αὐλητὴς, Χάρμου τοῦ αὐλητοῦ τελευτήσαντος, (ἦν δὲ φίλιχθυς,) ἀποπυρίδας ἐπὶ τοῦ μνήματος ἐνήγιζεν αὐτῷ. »

Idem I, p. 4, A: Κλέαρχός φησι Χάρμον τὸν Συρακόσιον εὐτρεπίσθαι στιχίδια καὶ παροιμίας εἰς ἕκαστον τῶν ἐν τοῖς δείπνοις παρατιθεμένων. Εἰς μὲν τὸν ἰχθὺν,

Ἥκω λιπὼν Αἰγαῖον ἁλμυρὸν βάθος·

εἰς δὲ τοὺς κήρυκας,

Χαίρετε, κήρυκες, Διὸς ἄγγελοι·

εἰς δὲ τὴν χορδὴν,

Ἑλικτὰ, κοὐδὲν ὑγιές·

εἰς δὲ τὴν ὠνθυλευμένην τευθίδα,

Σοφὴ, σοφὴ σύ·

εἰς δὲ τὸ ἐν τοῖς ἑψητοῖς ὡραῖον,

Οὐκ ἀπ' ἐμοῦ σκεδάσεις ὄχλον;

εἰς δὲ τὴν ἀποδεδαρμένην ἔγχελυν,

Οὐ προκαλυπτομένα βοστρυχώδεα.

Τοιούτους πολλούς φησι τῷ Λαρηνσίου παρεῖναι δείπνῳ ὥσπερ συμβολὰς κομίζοντας τὰ ἀπὸ τῶν στρωματοδέ-

---

ore cepisse, ne mandendo fatigaretur: eundemque nunquam infra umbilicum protulisse manum.

14.

De Anaxarcho vero Clearchus Solensis, Vitarum quinto libro, ita scribit: « Anaxarcho, ex eorum numero philosophorum, qui Eudæmonici sunt appellati, postquam per eorum stultitiam, qui eum sua magnificentia sustentarunt, opes est consecutus, vinum fundebat nuda puella pubescens, quæ forma ceteris præstare videbatur, nudans illa, verum si quæris, eorum incontinentiam qui ea ad hoc ministerium usi sunt. Ejusdem pistor manicatus et ore capistrato farinæ massam subigebat, ne sudor stillans influeret, neve pinsens halitu suo afflaret farinam. »

## E LIBRO OCTAVO.

15.

Quanto his melior Gorgias Leontinus! de quo idem Clearchus, octavo libro Vitarum, ait: « Quia moderate vixit, fere octoginta annos in prudentiæ convictu transegit; ac si quando ex eo quæreret quispiam, qua vivendi ratione usus, ita commode et integris omnibus sensibus in tam provecta ætate vitam transigeret? respondere solebat: Nihil unquam voluptatis causa faciens. »

## E LIBRIS INCERTIS.

16.

Clearchus in Vitarum libris, piscium lurconem quendam memorans, ita scribit: « Technon olim tibicen, quum e vita excessisset Charmon tibicen, qui strenuus fuerat obsonii vorator, apopyride, (i. e. piscium sartagine fervida) tumulo ingesta parentavit mortuo. »

Clearchus refert, Charmum Syracusium quibusvis ferculis in cœna appositis versiculos quosdam et adagia lepide accommodasse. Veluti piscibus:

Adsum relicto Ægæo salso pelago.

Buccinis conchis quas κήρυκας (i. e. præcones) Græci vocant:

Salvete, præcones, Jovis nuntii!

Flexuosis agnorum aut hædorum lactibus:

Tortuosa sanique nihil!

Loligini exquisita arte paratæ:

Sapiens tu quidem, sapiens es!

Salsamento ex minutis pisciculis:

Nonne a me turbam dispelles?

Anguillæ excoriatæ:

Non velata teneras cincinnis-ornatas genas.

Tales multos, ait, interfuisse Larensii cœnæ, qui e colle-

σμων γράμματα. Φησὶ δὲ καὶ ὅτι ὁ Χάρμος εἰς ἕκαστον τῶν παρατιθεμένων ἔχων τι πρόχειρον, ὡς προείρηται, ἐδόκει τοῖς Μεσσηνίοις πεπαιδευμένος εἶναι, ὡς καὶ Καλλιφάνης, ὁ τοῦ Παραβρύκοντος κληθεὶς, ἀρχὰς ποιημάτων πολλῶν ἐκγραψάμενος, ἀνειλήφει μέχρι τριῶν καὶ τεσσάρων στίχων, πολυμαθείας δόξαν προσποιούμενος. Locum hunc exscripsit Suidas v. Ἀθήναιος et Χάρμος.

Idem I, p. 4, D : Κλεάνθης δὲ ὁ Ταραντῖνος, ὥς φησι Κλέαρχος, πάντα παρὰ τοὺς πότους ἔμμετρα ἔλεγε, καὶ Πάμφιλος δὲ ὁ Σικελὸς, ὡς ταῦτα·

Ἔγχει πιεῖν μοι, καὶ τὸ πέρδικος σκέλος.
Ἀμίδα δότω τις· ἢ πλακοῦντά τις δότω.

Idem I, p. 4, E : Ὅτι Ἀρχέστρατος ὁ Συρακόσιος ἢ Γελῷος ἐν τῇ, ὡς Χρύσιππος ἐπιγράφει, Γαστρονομίᾳ, ὡς δὲ Λυγκεὺς καὶ Καλλίμαχος, Ἡδυπαθείᾳ, ὡς δὲ Κλέαρχος, Δειπνολογίᾳ, ὡς δ' ἄλλοι, Ὀψοποιίᾳ — ἐπικὸν δὲ τὸ ποίημα, οὗ ἡ ἀρχή·

Ἱστορίης ἐπίδειγμα ποιούμενος Ἑλλάδι πάσῃ .

Idem I, p. 5, F : Κλέαρχος δέ φησι Φιλόξενον προλουόμενον περιέρχεσθαι τὰς οἰκίας, ἀκολουθούντων αὐτῷ παίδων καὶ φερόντων ἔλαιον, οἶνον, γάρον, ὄξος καὶ ἄλλα ἡδύσματα· ἔπειτα εἰσιόντα εἰς τὰς ἀλλοτρίας οἰκίας, τὰ ἑψόμενα τοῖς ἄλλοις ἀρτύειν ἐμβάλλοντα, ὧν ἔστι χρεία, εἶθ' οὕτως ἀνακάψαντα εὐωχεῖσθαι. Οὗτος εἰς Ἔφεσον καταπλεύσας, εὑρὼν τὴν ὀψοπωλίαν κενὴν, ἐπύθετο τὴν αἰτίαν· καὶ μαθὼν ὅτι πᾶν εἰς γάμους συνηγόρασται, λουσάμενος παρῆν ἄκλητος ὡς τὸν νυμφίον. Καὶ μετὰ τὸ δεῖπνον ᾄσας ὑμέναιον, οὗ ἡ ἀρχὴ « Γάμε θεῶν λαμπρότατε » πάντας ἐψυχαγώγησεν. Ἦν δὲ διθυραμβοποιός. Καὶ ὁ νυμφίος, « Φιλόξενε, εἶπε, καὶ αὔριον ὧδε δειπνεῖς; » Καὶ ὁ Φιλόξενος « Ἂν ὄψον, ἔφη, μὴ πωλῇ τις. »

17.

Idem IX, p. 396, E : Κλέαρχος δ' ἐν τοῖς Περὶ βίων, εἰς ταὐτό φησιν ὠμότητος Φάλαριν τὸν τύραννον ἐλάσαι, ὡς γαλαθηνὰ θοινᾶσθαι βρέφη.

18.

Idem XII, p. 539, B : Κλέαρχος δ' ἐν τοῖς Περὶ βίων, περὶ Δαρείου λέγων τοῦ καθαιρεθέντος ὑπὸ τοῦ Ἀλεξάνδρου, φησίν· « Ὁ Περσῶν βασιλεὺς, ἄθλα θεὶς τοῖς τὰς ἡδονὰς αὐτῷ γνωρίζουσιν, ὑπὸ πάντων τῶν ἡδέων ἡττωμένην ἀπέδειξε τὴν βασιλείαν, καὶ καταγωνιζόμενος ἑαυτὸν οὐκ ᾔσθετο πρότερον, ἢ τὸ σκῆπτρον ἕτεροι λαβόντες ἀνεκηρύχθησαν. » Cf. fr. 5.

19.

Zenob. IV, 87 : Λευκηπατίας· Κλέαρχος ἐν τῷ Περὶ βίων φησὶ συμβαίνειν τι περὶ τὸ ἧπαρ ἐπί τινων, ὃ δειλοὺς ποιεῖ· εἰρῆσθαι οὖν ἐπὶ τῶν τοιούτων τὴν παροιμίαν.

20.

Zenob. IV, 18 : Τιθωνοῦ γῆρας· ἐπὶ τῶν πο-

---

ctaneorum suorum fasciculis libellos, veluti symbolas, conferebant. Ait etiam, Charmum, quum ad apposita singula fercula, ut paullo ante dictum est, aliquid in promptu haberet, eruditum virum apud Messanenses esse habitum : quod et Calliphani contigit, cui Parabrysontis cognomen, qui, quum multorum carminum et orationum principia in suos commentariolos retulisset, tres aut quattuor versus cujusque memoria tenebat, quibus recitatis multiplicis eruditionis laudem affectabat.

Cleanthes Tarentinus, ut Clearchus refert, in conviviis omnia versibus eloquebatur; pariterque Pamphilus Siculus. Velut ista :

Da quod bibam, et perdicis crus.
Matulam mihi aliquis, aut placentam porrigat.

Archestratus, Syracusius sive Gelous, in opere, cui, Chrysippum si audias, titulus est Gastronomia, quasi dicas Ventri leges; si Lynceum et Callimachum, Hedypathia, id est, Voluptatis institutio; si Clearchum, Deipnologia, i. e. de Cœnæ ratione; si alios, Opsopœia, i. e. de Obsoniorum apparatu : est vero carmen hexametris versibus compositum, cujus hoc initium :

Helladi doctrinæ specimen nunc præbeo toti...

Clearchus tradit, Philoxenum, quum in patria, tum in aliis civitatibus, postquam lavasset, domos circumire solitum, servulis comitantibus, qui oleum, vinum, garum, acetum aliaque condimenta ferrent; tum alienas domos ingressum, quæ pro aliis coquebantur, ea ipsum, injectis quæ opus forent, condivisse, eoque labore defunctum epulis accubuisse. Idem quum Ephesum aliquando navigasset, reperissetque vacuum obsonio forum, causam percunctatus, ubi ad nuptias omnia coempta fuisse cognovit, lotus ad sponsi domum perrexit, non invitatus. Tum post cœnam carmen nuptiale canens, cujus erat initium : *Nuptiæ, dearum splendidissima!* mirifice omnes oblectavit : erat enim dithyrambicus poeta. Rogante vero sponso, num postridie rursus apud eum vellet cœnare : Sic sane, inquit, obsonium si nemo vendat.

17.

Clearchus in Vitis scribit, eo sævitiæ progressum esse Phalaridem, ut lactentibus vesceretur infantibus.

18.

Clearchus in libris De vitis, de Dario loquens qui ab Alexandro sublatus est, scribit : « Persarum rex, præmia statuens his qui novas sibi voluptates indicarent, ab omnibus iis deliciis frangi evertique suum imperium passus est : nec prius intellexit ipsum se debellare, quam alii renuntiati sunt sceptrum manu tenentes. »

19.

*Albi jecinoris homo*] Clearchus libro De vitis auctor est, quorum hepati certum quoddam vitium acciderit, meticulosos reddi. De quibus usurpatum proverbium.

20.

*Tithoni senectus*] De longævis et decrepitis usurpatum.

λυχρονίων καὶ ὑπεργήρων τάττεται. Ἱστορεῖται δὲ, ὅτι Τιθωνὸς κατ' εὐχὴν τὸ γῆρας ἀποθέμενος τέττιξ ἐγένετο, ὥς φησι Κλέαρχος ἐν τῷ Περὶ βίων.

Subjicio reliqua quæ probabiliter ad Βίους referenda sunt.

21.

Athenæus I, p. 6, B : Κλέαρχος δὲ Μελάνθιόν φησι τοῦτ' εὔξασθαι, λέγων· « Τιθωνοῦ Μελάνθιος ἔοικε βουλεύσασθαι βέλτιον. Ὁ μὲν γὰρ ἀθανασίας ἐπιθυμήσας ἐν θαλάμῳ κρέμαται, πάντων ὑπὸ γήρως ἐστερημένος τῶν ἡδέων· Μελάνθιος δὲ τῶν ἀπολαύσεων ἐρῶν ηὔξατο τῆς μακραύχενος ὄρνιθος τὸν τράχηλον ἔχειν, ἵν' ὅτι πλεῖστον τοῖς ἡδέσιν ἐνδιατρίβῃ. » Ὁ αὐτός φησι Πίθυλλον τὸν τένθην καλούμενον οὐ περιγλωττίδα μόνον ὑμενίνην φορεῖν, ἀλλὰ καὶ προσελυτροῦν τὴν γλῶτταν πρὸς τὰς ἀπολαύσεις· καὶ τέλος ἰχθὺν τρίβων ἀπεκάθαιρεν αὐτήν. Μόνος δ' οὗτος τῶν ἀπολαυστικῶν καὶ δακτυλήθρας ἔχων ἐσθίειν λέγεται τὸ ὄψον, ἵν' ὡς θερμότατον ὁ τρισάθλιος ἀναδιδῷ τῇ γλώττῃ.

22.

Idem XII, p. 540, E : Κλέαρχος δέ φησιν, ὡς Πολυκράτης, ὁ τῆς ἁβρᾶς Σάμου τύραννος, διὰ τὴν περὶ τὸν βίον ἀκολασίαν ἀπώλετο, ζηλώσας τὰ Λυδῶν μαλακά. Ὅθεν τῷ μὲν Σάρδεων ἀγκῶνι γλυκεῖ προσαγορευομένῳ τὴν παρὰ τοῖς Σαμίοις λαύραν ἀντικατεσκεύασεν ἐν τῇ πόλει, καὶ τῶν Λυδῶν ἄνθεσι πάντα ἔπλησε (ἄνθεσιν ἀντεποίησε Dal.) τὰ διαγγελθέντα Σαμίων ἄνθεα. Τούτων δὲ ἡ μὲν Σαμίων λαύρα στενή τις ἦν γυναικῶν δημιουργῶν, πλήθουσα καὶ τῶν πρὸς ἀπόλαυσιν καὶ ἀκρασίαν πάντων βρωμάτων ὧν ὄντως ἐνέπλησε τὴν Ἑλλάδα· τὰ δὲ Σαμίων ἄνθη γυναικῶν καὶ ἀνδρῶν κάλλη διάφορα, ἔτι δὲ τῆς συμπάσης πόλεως ἐν ἑορταῖς τε καὶ μέθαις. Καὶ ταῦτα μὲν ὁ Κλέαρχος *. Cf. fr. 6.

23.

Athenæus XIII, p. 590, C : Κλέαρχος γὰρ περὶ Ἐπαμινώνδου φησὶν οὕτως· « Ἐπαμινώνδας ὁ Θηβαῖος σεμνότερον μὲν τούτων, οὐκ εὐσχημόνως δὲ περὶ τὰς ὁμιλίας ἐσφάλλετο τὴν γνώμην, εἴ τις θεωροίη τὰ πραχθέντα αὐτῷ περὶ τὴν Λάκωνος γυναῖκα. »

24.

Idem XIII, p. 611, B : Συνελόντι δὲ εἰπεῖν, κατὰ τὸν Σολέα Κλέαρχον, οὐ καρτερικὸν βίον ἀσκεῖτε, κυνικὸν δὲ τῷ ὄντι ζῆτε· καίτοι τοῦ ζώου τούτου ἐν τέτταρσι τὴν φύσιν περιττὴν ἔχοντος, ὧνπερ ὑμεῖς τὰ χείρω μερισάμενοι τηρεῖτε.

## ΓΕΡΓΙΘΙΟΣ.

25.

Athen. VI, p. 255, C : Κλέαρχος δ' ὁ Σολεὺς ἐν τῷ ἐπιγραφομένῳ Γεργιθίῳ, καὶ πόθεν ἡ ἀρχὴ τοῦ ὀνόματος τῶν κολάκων παρῆλθε, διηγεῖται, καὶ αὐτὸν τὸν Γεργίθιον ὑποτιθέμενος, ἀφ' οὗ τὸ βιβλίον ἔχει τὴν ἐπιγραφὴν, ἕνα γεγονότα τῶν Ἀλεξάνδρου κολάκων. Διηγεῖται δὲ οὕτως· « Τὴν κολακείαν ταπεινὰ ποιεῖν τὰ ἤθη τῶν κολάκων, καταφρονητικῶν ὄντων τῶν περὶ αὐτούς. Σημεῖον δὲ τὸ πᾶν ὑπομένειν εἰδότας οἷα τολμῶσι. Τὰ δὲ τῶν κολακευομένων ἐμφυσωμένων τῇ κο-

---

Ferunt enim Tithonum ex voto, senio deposito, in cicadam mutatum, auctore Clearcho, libro de Vitis.

21.

Clearchus Melanthium ita precatum esse scribit : « Tithono, inquit, Melanthius consultior fuit. Ille enim, quoniam immortalem se fieri concupiverat, in cunis suspensus hæret, omnibus vitæ voluptatibus ob senectutem privatus; Melanthius vero, voluptatis desiderio captus, precatus est, ut volucris longo collo præditi guttur sibi daretur, quo diutius ipsi duraret voluptatis sensus. » Idem Clearchus narrat, Pithyllum, qui Catillo cognominatus est, non solum membraneo tegmine involvisse linguam, verum etiam crustam illi ceu loricam induxisse, luxuriæ causa, et denique piscis affrictu illam repurgasse. « Solusque ille e catillonum numero digitalibus utens cibos comedebat, ut eos quam ferventissimos linguæ tradere hominum miserrimus posset. »

22.

Clearchus scribit : « Polycrates, delicatæ Sami tyrannus, ob vitæ lasciviam periit, quum omne genus mollitiei Lydorum æmularetur. Quare *dulci Anconi*, qui Sardibus vocabatur, apud Samios *Lauram* opposuit in urbe, et Lydorum floribus opposuit, famosos illos Samiorum flores. Erat autem Samiorum Laura vicus quidam in urbe, mulieribus publicis repletus, et omnibus ad voluptatem et intemperantiam facientibus cibis, quibus revera ille implevit Græciam. Sunt autem Samiorum flores, mulierum et virorum excellentes formæ, atque etiam totius civitatis in temulentia et festis diebus et *hilaritas et lætitia*. » Et hæc quidem Clearchus.

23.

Clearchus de Epaminonda ita scribit : « Epaminondas Thebanus his quidem gravior : sed tamen parum decora ratione in colloquiis cum mulieribus de animi sui sententia dimotus est, si quis illud quidem cogitet quod cum Laconis uxore gestum est. »

24.

Ut paucis concludam, quod ait Solensis Clearchus, vos non tolerantiam constantiamque vitæ exercetis, sed caninam revera vitam agitis : quamquam, quum in quattuor rebus excellat canum natura, vos ex his pejora seligentes imitamini.

## GERGITHIUS.

25.

Clearchus Solensis in libro quem Gergithium inscripsit, exponit etiam unde initio nomen assentatorum progressum sit. In eo libello ipsum illum Gergithium, cujus nomen titulus præfert, statuit unum ex Alexandri fuisse assentatoribus. Exponit vero ita : « Assentationem, ait, humiles reddere animos moresque assentatorum; quandoquidem illos fere contemnunt hi quibuscum versantur. Argumento esse, quod omnia patiantur, bene gnari quid sit quod illi audeant.

ἀφρονεστάτας. Τοιγαροῦν αὗται μὲν, ἐκ τῶν λίαν μαλακῶν ὑπὸ τῆς τύχης μεταβιβασθεῖσαι, σκληρῶς ἐβίωσαν ἐπὶ γήρως, αἱ δὲ τῶν παρ' ἡμῖν ταῦτα διαδεξάμεναι, ἐκπεσοῦσαι τῆς ἐξουσίας, κατῆραν εἰς Μακεδονίαν, καὶ τὰς τῶν ἐκεῖ κυρίας τε καὶ βασιλίδας ὃν τρόπον ταῖς ὁμιλίαις διέθεσαν, οὐδὲ λέγειν καλὸν, πλὴν ὅτι μαγευόμεναι καὶ μαγεύουσαι, ταυροπόλοι καὶ τρίοδοί τινες αὗται πρὸς ἀλήθειαν ἐγένοντο, πλήρεις πάντων ἀποκαθαρμάτων. Τοσούτων ἔοικε καὶ τοιούτων ἡ κολακεία κακῶν αἰτία γενέσθαι τοῖς διὰ τοῦ κολακεύεσθαι προσδεξαμένοις αὐτήν. »

Προελθὼν δὲ πάλιν ὁ Κλέαρχος καὶ τάδε φησίν· « Ἀλλ' ἤδη καὶ τῇ τούτων χρείᾳ μέμψαιτ' ἄν τις τὸ μειράκιον, ὥσπερ εἶπον. Οἱ μὲν γὰρ παῖδες μικρὸν ἄπωθεν τῆς κλίνης ἐν χιτωνίσκοις ἕστασαν· τριῶν δ' ὄντων ἀνδρῶν, δι' οὓς δὴ νῦν ὁ πᾶς λόγος ἐνέστηκε, καὶ τούτων ὄντων ἐπωνύμων παρ' ἡμῖν, ὁ μὲν εἷς ἐπὶ τῆς κλίνης πρὸς ποδῶν καθῆστο, τοὺς τοῦ μειρακίου πόδας ἐπὶ τοῖς αὑτοῦ γόνασι λεπτῷ λῃδίῳ συνημφιακώς. Ὃ δὲ ἐποίει, δήπου καὶ μὴ λέγοντος οὐκ ἄδηλον. Καλεῖται δ' οὗτος ὑπὸ τῶν ἐγχωρίων Παράβυστος, διὰ τὸ καὶ τῶν μὴ παραδεχομένων ὅμως τεχνικώτατα κολακεύων παρεμπίπτειν ἐς τὰς ὁμιλίας. Ἅτερος δ' ἦν ἐπί τινος δίφρου κειμένου παρ' αὐτὴν τὴν κλίνην, καὶ τοῦ νεανίσκου τὴν χεῖρα παρεικότος ἐκκρεμάμενος, ταύτῃ καὶ προσπεπτωκὼς κατέψηχέ τε καὶ τῶν δακτύλων ἕκαστον ἐν μέρει διαλαμβάνων, εἷλκέ τε καὶ ἐξέτεινεν· ὥστε τὸν πρῶτον αὐτὸν ἐπονομάσαντα Σικύαν εὐστόχως εἰρηκέναι δοκεῖν. Ὁ τρίτος, ὁ Θὴρ ὁ γενναιότατος, ὅσπερ ἦν τῆς ὑπηρεσίας πρωταγωνιστής, προσεστηκὼς αὐτῷ κατὰ κεφαλὴν, μετεῖχε τῶν βυσσίνων προσκεφαλαίων, ἀποκεκλιμένος εἰς αὐτὰ πάνυ φιλικῶς. Καὶ τῇ μὲν ἀριστερᾷ τὸ τοῦ μειρακίου τριχωμάτιον ἐπικοσμῶν, τῇ δεξιᾷ δὲ Φωκαϊκὸν ψῦγμά τι διακινῶν, ὡς αἰωρῶν ἡδὺς ἦν, ἀλλ' οὐκ ἀποσοβῶν. Διό μοι δοκεῖ ἂν αὐτῷ δαίμων τις ἐλευθέριος νεμεσήσας ἐφεῖναι τῷ μειρακίῳ μυῖαν, οὐκ ἄλλην ἢ κείνην, ἧς καὶ τὴν Ἀθηνᾶν φησιν Ὅμηρος ἐνεῖναι τῷ Μενελάῳ τὸ θάρσος, οὕτως ἦν ἐρρωμένη καὶ ἄφοβος τὴν ψυχήν. Δηχθέντος δὲ τοῦ μειρακίου τηλικοῦτον ἀνέκραγεν ἄνθρωπος ὑπὲρ ἐκείνου, καὶ οὕτως ἠγανάκτησεν, ὥστε διὰ τὴν πρὸς μίαν ἔχθραν ἁπάσας ἐκ τῆς οἰκίας ἤλαυνεν. Ὅθεν καὶ φανερὸς ἐγένετο πρὸς τούτῳ τεταχὼς ἑαυτόν. »

26.

Athenæus VI, p. 258, A : Εἴη οὖν ἂν ὁ τοῦ προειρημένου μειρακίου κόλαξ μαλακοκόλαξ, ὥς φησιν ὁ Κλέαρχος. Πρὸς γὰρ τῷ τοιούτῳ κολακεύειν καὶ τὸ σχῆμα τῶν κολακευομένων ἐπακολουθοῦν ἀποπλάττεται, παραγκωνίζων καὶ σπαργανῶν ἑαυτὸν τοῖς τριβωναρίοις· ὅθεν αὐτὸν οἱ μὲν παραγκωνιστὴν, οἱ δὲ σχηματοθήκην, καλοῦσι. Κατ' ἀλήθειαν γὰρ ὁ κόλαξ ἔοικεν εἶναι τῷ Πρωτεῖ ὁ αὐτός. Γίγνεται γοῦν παντοδαπὸς οὐ μόνον κατὰ τὴν μορφὴν, ἀλλὰ καὶ κατὰ τοὺς λόγους· οὕτω ποικιλόφωνός τις ἐστίν.

---

et ascenderent et descenderent. Eo luxuriæ, ne miseriæ dicam, sua arte stultissimas illas adduxere. Itaque hæ, ex mollissima vita per fortunam dejectæ, duram in senectute vitam vixerunt : illæ vero, quæ ab his nostris ista acceperant, postquam potestate exciderunt, in Macedoniam delatæ sunt, ubi rerum dominas reginasque quales sua consuetudine reddiderint, ne eloqui quidem honestum est. Verbo dicam, magicas artes et in se et in aliis exercentes, tauropolæ ac vere diserim triviæ quædam factæ sunt omni genere immunditiarum plenæ. Talium tantorumque malorum causa adulatio his est, qui ejus lenocinio demulsi eam admittunt. »

In progressu vero sermonis rursus hæc dicit Clearchus : « Jam vero ob istarum rerum usum merito aliquis reprehenderit illum, quem dixi, adolescentulum. Pueri enim ex modico intervallo ab lectulo stabant tunicis vestiti. Quum vero tres sint viri, quorum causa nunc instituta est tota hæc disputatio, quorum etiam cuique apud nos proprium a re ipsa cognomen est : eorum unus lectulo a pedibus assidebat, qui pedes adolescentuli suis genibus impositos tenui veste contegebat; qui quid porro fecerit, etiam me non dicente haud obscurum est. Vocatur autem hic ab indigenis Parabystus (i. e. intrusus), quia in eorum etiam consuetudinem, qui non sponte eum recipiunt, artificiosa sua adulatione sese ingerit. Alter in sella quadam sedebat juxta ipsum lectulum posita, et ab adolescente totus pendens, quum manum ille languide demitteret, cupide eam prehendens demulcebat, et digitos singulos vicissim prehensos trahebat et extendebat, ut apte appositeque dixisse videatur is qui primus Sicyam (i. e. cucurbitulam) hunc appellavit. Tertius vero, nobilissimus, Ther cognominatus (i. e. fera, sive leo), qui totius ministerii antesignanus erat, ad caput ejus astans byssinorum cervicalium ejusdem particeps erat, familiariter admodum in iis reclinatus. Et læva quidem manu molliusculum adolescentuli capillum adornabat, dextra vero Phocaicum flabellum ultro citroque movens, veluti oscillans (vel veluti oscillam) jucundus erat; sed ita leniter id faciebat, ut non idcirco muscæ prorsus arcerentur. Quare iratus ei aliquis deus ingenuus muscam adolescentulo immisit, non aliam atque illam cujus audaciam a Minerva immissam Menelao esse Homerus ait : ita valida erat et animo interrito. Quum igitur morderetur adolescens, tam immaniter exclamavit hic homo pro illo, atque ita iratus est, ut unius illius muscæ odio omnes ædibus expelleret. Ex quo etiam apparuit, ad hoc ministerium illum se constituisse. »

26.

« Fuerit igitur prædicti adolescentuli adulator *malacocolax*, ut ait Clearchus, id est *mollitiei adulator*. Nam præterquam quod tali homini adulatur, habitum ejus formamque consentientem his quibus adulatur fingit : et modo cubito propellit alios dimovetque, modo involvit se panniculis. Quare etiam alii eum *paranconisten* appellant, id est, *cubito depulsorem*, alii *schematothecam*, id est *variarum formarum promptuarium*. Vere enim assentator idem atque *Proteus* esse videtur. Fit enim multiplex et omnifarius, non modo quod ad formam attinet, sed et quod ad sermonem : ita variare vocem novit. »

## ΠΕΡΙ ΠΑΙΔΕΙΑΣ.

27.

### E LIBRO SECUNDO.

Athenæus XV, p. 697, E : Κλέαρχος, ὦ λῷστε, ἐν δευτέρῳ Περὶ παιδείας οὑτωσί φησι· « Λείπεταί τις ὁ Συρβηναίων χορὸς, ὧν ἕκαστον τὸ δοκοῦν ἑαυτῷ κατᾶσαι δεῖ, προσέχων οὐδὲν τῷ προκαθημένῳ καὶ διδάσκοντι τὸν χορὸν, ἀλλ' αὐτὸς πολὺ τούτων ἀτακτότερός ἐστι θεατής. Καὶ κατὰ τὸν παρῳδὸν Μάτρωνα

Οἱ μὲν γὰρ δὴ πάντες ὅσοι πάρος ἦσαν ἄριστοι,
Εὔβοιός τε καὶ Ἑρμογένης δῖοί τε Φίλιπποι,
οἱ μὲν δὴ τεθνᾶσι καὶ εἰν Ἀΐδαο δόμοισιν.
Ἔστι δέ τις Κλεόνικος, ὃν ἀθάνατον λάχε γῆρας,
οὔτε ποιητάων ἀδαήμων οὔτε θεάτρων·
ᾧ καὶ τεθνειῶτι λαλεῖν πόρε Περσεφόνεια. »

28.

Diogenes L. I, 9 : Κλέαρχος δὲ ὁ Σολεὺς ἐν τῷ Περὶ παιδείας καὶ τοὺς γυμνοσοφιστὰς ἀπογόνους εἶναι τῶν μάγων φησίν.

29.

Hesychius v. Μανέρως : Τοῦτον φασὶν Αἰγύπτιοι ὁμολογῆσαι πρῶτον παρὰ μάγων διδαχθέντα, καὶ διὰ τοῦτο πᾶσιν ἀνὰ στόμα γενέσθαι, ὡς Κλέαρχος ἐν τοῖς Περὶ παιδείας ἱστορεῖ. Pro μάγων ex Polluce VII, c. 7 Vossius restitui jubet μουσῶν.

## ΠΕΡΙ ΦΙΛΙΑΣ.

30.

### E LIBRO PRIMO.

Athenæus XII, p. 533, E : Κλέαρχος δ' ἐν πρώτῳ Περὶ φιλίας τὸν Θεμιστοκλέα φησὶ τρίκλινον οἰκοδομησάμενον περικαλλέστατον, ἀγαπᾶν ἔφησεν, εἰ τοῦτον φίλων πληρώσειεν.

31.

### E LIBRO SECUNDO.

Athenæus VIII, p. 349, F : Κλέαρχος δ' ἐν δευτέρῳ Περὶ φιλίας, « Στρατόνικος (φησὶν) ὁ κιθαριστὴς, ἀναπαύεσθαι μέλλων, ἐκέλευεν ἀεὶ τὸν παῖδα προσφέρειν αὐτῷ πιεῖν, Οὐχ ὅτι διψῶ, φησὶν, ἵνα δὲ μὴ διψήσω. Ἐν δὲ Βυζαντίῳ κιθαρῳδοῦ τὸ μὲν προοίμιον ᾄσαντος εὖ, ἐν δὲ τοῖς λοιποῖς ἀποτυγχάνοντος, ἀναστὰς ἐκήρυξεν, Ὃς ἂν καταμηνύσῃ τὸν τὸ προοίμιον ᾄσαντα κιθαρῳδὸν, λήψεται χιλίας δραχμάς. Ἐρωτηθεὶς δ' ὑπό τινος, τίνες εἰσὶν οἱ μοχθηρότατοι, τῶν ἐν Παμφυλίᾳ Φασηλίτας μὲν ἔφησε μοχθηροτάτους εἶναι, Σιδήτας δὲ τῶν ἐν τῇ οἰκουμένῃ. »

## ΕΡΩΤΙΚΑ.

32.

### E LIBRO PRIMO.

Idem VI, p. 255, B : Κλέαρχος δ' ὁ Σολεὺς ἐν τῷ πρώτῳ τῶν Ἐρωτικῶν· « Κόλαξ μὲν οὐδεὶς (φησὶ)

---

## DE INSTITUTIONE.

27.

### E LIBRO SECUNDO.

Clearchus, o optime, secundo libro De institutione ita scribit : « Superest aliquis Syrbenæorum chorus in quo singulos oportet occinere quidquid cuique visum fuerit, nihil attendentes ad præsidentem chori magistrum, qui ipse multo etiam his tumultuosior spectator est. Et, quod parodus Matron ait,

Illi enim omnes, qui olim fuerant, præstantissimi viri,
Eubœus et Hermogenes, nobilesque Philippi,
illi igitur mortui sunt, et Ditis subierunt domos.
Est vero quidam Cleonicus, cui immortalis obtigit senectus,
neque poetarum ignarus, nec scenicarum fabularum :
cui, ut mortuus etiam loquatur, dedit Proserpina. »

28.

Clearchus Solensis De institutione etiam gymnosophistas magorum posteros esse dicit.

29.

Maneron Ægyptii dicunt communi consensu statui a magis (*Musis*) edoctum fuisse, ac propterea omnium ore celebrari, uti Clearchus refert in libris De institutione.

## DE AMICITIA.

30.

### E LIBRO PRIMO.

Clearchus, primo libro De amicitia, Themistoclem ait, postquam triclinium singulari elegantia construendum curasset, dixisse, contentum se fore, si amicis illud implere posset.

31.

### E LIBRO SECUNDO.

Clearchus, secundo libro De amicitia, scribit : « Stratonicus citharista, quando quietem volebat capere, puerum semper jussit sibi potum afferre : « Non quod sitiam, dicere solebat, sed, ne sitiam. » Byzantii vero quum citharœdus aliquis prooemium quidem belle cecinisset, reliqua vero prorsus perperam, surgens Stratonicus alta voce proclamavit : « Mille drachmas accepturum, si quis citharœdum indicaverit, qui prooemium istud cecinisset. » Interrogatus ab aliquo, quinam essent homines miserrimi? respondit : « In Pamphylia miserrimos esse Phaselitas; Sidetas vero omnium totius orbis gentium. »

## EROTICA.

32.

### E LIBRO PRIMO.

Clearchus Solensis primo Eroticorum : « Nullus assentator, inquit, constans amicus est. Consumit enim tempus

διαρκεῖ πρὸς φιλίαν. Καταναλίσκει γὰρ ὁ χρόνος τὸ τοῦ προσποιήματος αὐτῶν ψεῦδος. Ὁ δ' ἐραστὴς κόλαξ ἐστὶ φιλίας δι' ὥραν ἢ κάλλος. »

33.

Idem XIII, p. 564, A : Πρὸς ἀλήθειαν γὰρ, καθάπερ φησὶ Κλέαρχος ἐν τῷ πρώτῳ τῶν Ἐρωτικῶν, Λυκοφρονίδην εἰρηκέναι φησίν·

Οὔτε παιδὸς ἄρρενος, οὔτε παρθένων
τῶν χρυσοφόρων, οὔτε γυναικῶν βαθυκόλπων
καλὸν τὸ πρόσωπον, ἀλλὰ κόσμιον πεφύκει.
Ἡ γὰρ αἰδὼς ἄνθος ἐπισπείρει.

34.

Idem XIII, p. 573, A : Κλέαρχος δ' ἐν πρώτῳ Ἐρωτικῶν « Γύγης (φησίν), ὁ Λυδῶν βασιλεὺς, οὐ μόνον περὶ ζῶσαν τὴν ἐρωμένην περιβόητος γέγονεν, ἐγχειρίσας αὑτόν τε καὶ τὴν ἀρχὴν ἐκείνῃ πᾶσαν, ἀλλὰ καὶ, τελευτησάσης, συναγαγὼν τοὺς ἐκ τῆς χώρας Λυδοὺς πάντας, ἔχωσε μὲν Λυδίας (Μεναλίας conj. Schweigh.) τὸ νῦν ἔτι καλούμενον τῆς ἑταίρας μνῆμα, εἰς ὕψος ἄρας, ὥστε, περιοδεύοντος αὐτοῦ τὴν ἐντὸς Τμώλου χώραν, οὗ ἂν ἐπιστραφεὶς τύχοι, καθορᾶν τὸ μνῆμα, καὶ πᾶσι τοῖς τὴν Λυδίαν οἰκοῦσιν ἄποπτον εἶναι. »

35.

Idem XIII, p. 589, D : Περικλῆς δὲ ὁ Ὀλύμπιος, ὥς φησι Κλέαρχος ἐν πρώτῳ Ἐρωτικῶν, οὐχ ἕνεκεν Ἀσπασίας τῆς νεωτέρας, ἀλλὰ τῆς Σωκράτει τῷ σοφῷ συγγενομένης, καίπερ τηλικοῦτον ἀξίωμα συνέσεως καὶ πολιτικῆς δυνάμεως κτησάμενος, οὐ συνετάραξε πᾶσαν τὴν Ἑλλάδα;

36.

Idem XIII, p. 605, D : Ὁρᾶτε οὖν καὶ ὑμεῖς οἱ φιλόσοφοι, οἱ παρὰ φύσιν τῇ Ἀφροδίτῃ χρώμενοι καὶ ἀσεβοῦντες εἰς τὴν θεὸν, μὴ τὸν αὐτὸν διαφθαρῆτε τρόπον (sc. ὃν Φαρσαλία διὰ τὴν τοῦ θεοῦ μῆνιν διασπασθεῖσα). Τότε γὰρ καὶ οἱ παῖδές εἰσι καλοὶ, ὡς Γλυκέρα ἔφασκεν ἡ ἑταίρα, ὅσον ἐοίκασι γυναικὶ χρόνον, καθάπερ ἱστορεῖ Κλέαρχος.

Idem XIII, p. 605, E : Ὑμεῖς δὲ, ὦ φιλόσοφοι, κἂν ἐρασθέντες ποτὲ γυναικῶν ἐν ἐννοίᾳ λάβητε ὡς ἀδύνατόν ἐστι τὸ τυχεῖν μάθετε * * * παύονται οἱ ἔρωτες, ὥς φησι Κλέαρχος. Τῇ τε γὰρ περὶ τὴν Πειρήνην χαλκῇ βοῒ βοῦς ἐπανέβη· καὶ γεγραμμένῃ κυνὶ καὶ περιστερᾷ καὶ χηνὶ τῇ μὲν κύων, τῇ δὲ περιστερὰ, τῇ δὲ χὴν προσῆλθον καὶ ἐπεπήδησαν· φανέντων δὲ πᾶσι τούτοις ἀδυνάτων, ἀπέστησαν, καθάπερ Κλείσοφος ὁ Σηλυμβριανός. Οὗτος γὰρ, τοῦ ἐν Σάμῳ Παρίου ἀγάλματος ἐρασθεὶς, κατέκλεισεν αὑτὸν ἐν τῷ ναῷ, ὡς πλησιάσαι δυνησόμενος· καὶ ὡς ἠδυνάτει διά τε τὴν ψυχρότητα καὶ τὸ ἀντίτυπον τοῦ λίθου, τηνικαῦτα τῆς ἐπιθυμίας ἀπέστη, καὶ προβαλλόμενος τὸ σαρκίον ἐπλησίασε.

Idem p. 606, C : Ἐν Αἰγίῳ δὲ παιδὸς ἠράσθη χὴν, ὡς Κλέαρχος ἱστορεῖ ἐν πρώτῳ Ἐρωτικῶν. Τὸν δὲ παῖδα τοῦτον Θεόφραστος ἐν τῷ Ἐρωτικῷ Ἀμφίλοχον καλεῖσθαί φησι καὶ τὸ γένος Ὠλένιον εἶναι. — Ibid. : Ἐν δὲ Λευκαδίᾳ φησὶ Κλέαρχος οὕτως ἐρασθῆναι ταὼν παρθένου, ὡς καὶ τὸν βίον ἐκλιπούσῃ συναποθανεῖν.

---

mendacium illorum, qui amicitiam simulant. Amator vero assentator est et amicitiæ simulator ob ætatis florem sive formæ pulchritudinem. »

33.

Vere, quemadmodum Clearchus ait primo libro Eroticorum, dixisse inquit Lycophroniden :

Nec adolescentulum, nec virgines
aurum gestantes, nec mulieres amplos sinus habentes
tam pulchra facies, quam modesta decet.
Pudor enim florem inspergit.

34.

Clearchus primo libro Eroticorum hæc scribit : « Gyges Lydorum rex, non modo dum viveret amasia, miro illius amore tenebatur, cui et sese et universum regnum tradiderat; sed et quum e vivis illa discessisset, congregatis omnibus Lydiæ incolis tumulum ei exstruxit, qui ad hunc diem Hetæræ Lydiæ monumentum appellatur, ea altitudine, ut, quemcumque tractum terræ intra Tmolum peragraret, quocumque se verteret, monumentum illud in oculis haberet, essetque illud in conspectu omnium Lydiam incolentium. »

35.

Pericles Olympius, ut ait Clearchus primo libro Eroticorum, propter Aspasiam, non hanc juniorem (*Cyri amicam*), sed illam quæ cum sapiente Socrate versata est, tantam licet prudentiæ laudem, tantamque in republica potentiam consecutus, nonne totam conturbavit Græciam?

36.

Videte igitur vos, philosophi, qui præter naturam Venere (mascula) utimini et impii estis adversus deam, ne eodem modo pereatis. Nam etiam pueri tum tantum pulchri sunt, ut aiebat Glycera meretrix, quo usque mulieribus similes sunt, quemadmodum Clearchus refert.

Vos vero, o philosophi, etiamsi amore aliquando capti mulierum in animum induxeritis fieri non posse ut illis potiamini, discite *** cessant amores, ut ait Clearchus. Nam et æneam vaccam, quæ ad Pirenen est, bos conscendit, et cum picta cane et columba et ansere congredi canis, columba et anser, easque inscendere voluerunt; quod quum fieri non posse cognoscerent omnes, destiterunt : quod ipsum etiam Clisopho usu venit Selymbriano. Hic enim Sami captus amore statuæ ex Pario marmore, inclusit sese in templo, quasi quum illa congredi posset, et quum non posset ob saxi frigiditatem renixumque, tum quidem cupiditate abstitit, et prætendens carunculam explevit libidinem.

Ægii puerum amavit anser, ut Clearchus narrat primo libro Eroticorum, pueroque illi Theophrastus in Amatorio ait nomen fuisse Amphilocho, fuisse autem genere Olenium.

In Leucadia pavonem ait Clearchus tam vehementer amasse virginem, ut illa mortua ipse cum ea exspiraret.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

SAVE $3,999,994

Did you know we sell paperback books too?

To buy our entire catalog in paperback would cost over $4,000,000

Access it all now for $8.99/month

*Fair usage policy applies

Continue

ὡραίους ἀνθολογεῖν. Ὅθεν αἵ τε περὶ τὴν Περσεφόνην ἀνθολογεῖν λέγονται, καὶ Σαπφώ φησιν· « ἴδειν ἄνθε' ἀμέργουσαν παῖδ' ἄγαν ἀπαλάν. »

Quæ deinde narrantur de ἱερῷ Ἀφροδίτης καλλιπύγου ejusdem fuerint Clearchi.

## E LIBRO SECUNDO.

### 40.

Athenæus XIV, p. 639, A : Κλέαρχος δ' ἐν δευτέρῳ Ἐρωτικῶν τὰ ἐρωτικά φησιν ᾄσματα καὶ τὰ Λοκρικὰ καλούμενα οὐδὲν τῶν Σαπφοῦς καὶ Ἀνακρέοντος διαφέρειν.

## E LIBRIS INCERTIS.

### 41.

Idem II, p. 57, E : Ἄλεξις δὲ ἡμίτομά που ᾠῶν λέγει. Ὠὰ δὲ οὐ μόνον ἀνεμιαῖα ἐκάλουν, ἀλλὰ καὶ ὑπηνέμια. « Ἐκάλουν δὲ καὶ τὰ νῦν τῶν οἰκιῶν παρ' ἡμῖν καλούμενα ὑπερῷα ᾠά » φησὶ Κλέαρχος ἐν Ἐρωτικοῖς, τὴν Ἑλένην φάσκων, ἐν τοιούτοις οἰκήμασι τρεφομένην, δόξαν ἀπενέγκασθαι παρὰ πολλοῖς, ὡς ἐξ ᾠοῦ εἴη γεγεννημένη.

### 42.

Idem XIII, p. 597, A : Ἐπὶ τούτοις ὁ Μυρτίλος μέλλων σιωπᾶν, Ἀλλὰ μικροῦ, ἔφη, ἄνδρες φίλοι, ἐξελαθόμην ὑμῖν εἰπεῖν τήν τε Ἀντιμάχου Λυδὴν, προσέτι δὲ καὶ τὴν ὁμώνυμον ταύτης ἑταίραν Λυδὴν, ἣν ἠγάπα Λαμύνθιος ὁ Μιλήσιος. Ἑκάτερος γὰρ τούτων τῶν ποιητῶν, ὥς φησι Κλέαρχος ἐν τοῖς Ἐρωτικοῖς, τῆς βαρβάρου Λυδῆς εἰς ἐπιθυμίαν καταστὰς ἐποίησεν ὁ μὲν ἐν ἐλεγείοις, ὁ δ' ἐν μέλει τὸ καλούμενον ποίημα Λυδήν.

## ΠΛΑΤΩΝΟΣ ΕΓΚΩΜΙΟΝ.

### 43.

Diogenes L. III, 2 : Σπεύσιππος δ' ἐν τῷ ἐπιγραφομένῳ Πλάτωνος περιδείπνῳ καὶ Κλέαρχος ἐν τῷ Πλάτωνος ἐγκωμίῳ καὶ Ἀναξιλαΐδης ἐν τῷ δευτέρῳ Περὶ φιλοσόφων φασὶν ὡς Ἀθήνησιν ἦν λόγος, ὡραίαν οὖσαν τὴν Περικτιόνην βιάζεσθαι τὸν Ἀρίστωνα καὶ μὴ ἐπιτυγχάνειν· παυόμενόν τε τῆς βίας ἰδεῖν τὴν τοῦ Ἀπόλλωνος ὄψιν, ὅθεν καθαρὰν γάμου φυλάξαι ἕως τῆς ἀποκυήσεως.

Hieronymus Adv. Jovian. I (Opp. tom. II, p. 35) : *Speusippus quoque, sororis Platonis filius, et Clearchus in Laude Platonis et Anaxilides in secundo libro philosophiæ, Perictionen, matrem Platonis, phantasmate Apollinis oppressam ferunt, et sapientiæ principem non aliter arbitrantur, nisi de partu virginis, editum.*

## ΠΕΡΙ ΤΩΝ ΕΝ ΤΗ ΠΛΑΤΩΝΟΣ ΠΟΛΙΤΕΙᾼ ΜΑΘΗΜΑΤΙΚΩΣ ΕΙΡΗΜΕΝΩΝ.

### 44.

Athenæus IX, p. 393, A : Περὶ δὲ τῆς τῶν ὀρτύγων θήρας ἰδίως ἱστορεῖ Κλέαρχος ὁ Σολεὺς, ἐν τῷ ἐπιγραφομένῳ Περὶ τῶν ἐν τῇ Πλάτωνος Πολιτείᾳ μαθηματικῶς εἰρημένων, γράφων οὕτως· « Οἱ ὄρτυγες περὶ τὸν τῆς ὀχείας καιρὸν, ἐὰν κάτοπτρον ἐξ ἐναντίας τις αὐτῶν, καὶ πρὸ τούτου βρόχον θῇ, τρέχοντες πρὸς τὸν ἐμφαινόμενον ἐν τῷ κατόπτρῳ, ἐμπίπτουσιν εἰς τὸν βρόχον. » Καὶ περὶ τῶν κολοιῶν δὲ καλουμένων τὰ ὅμοια ἱστορεῖ, ἐν τούτοις· « Καὶ τοῖς

---

legisse fertur, et Sappho ait, puellam se vidisse teneriusculam flores decerpentem. »

## EX LIBRO SECUNDO.

### 40.

Clearchus secundo libro Eroticorum ait, amatoria cantica et Locrica quæ vocantur, nihil a Sapphus et Anacreontis carminibus differre.

## E LIBRIS INCERTIS.

### 41.

Alexis alicubi dimidiatas dixit ovorum partes. Subventanea vero ova et ἀνεμιαῖα dicebant et ὑπηνέμια. Ova vero vocabant olim, quæ nunc ὑπερῷα (superiora ædium tabulata) dicimus, ut Clearchus docet in Eroticis, ubi ait Helenam, quoniam in ejusmodi conclavi educata est, vulgo creditam esse ex ovo fuisse natam.

### 42.

His dictis Myrtilus quum taciturus videretur : At propemodum, inquit, viri amici, oblitus eram Antimachi vobis Lydam nominare, itemque cognominem hujus aliam Lydam, quam amavit Lamynthius Milesius. Uterque enim horum poetarum, ut ait Clearchus in Amatoriis, barbaræ Lydæ desiderio flagrans, carmen Lydam inscriptum, alter elegiacum, lyricum alter, composuit.

## PLATONIS LAUDATIO.

### 43.

Enimvero Speusippus in libro qui De cœna Platonis funebri inscribitur, et Clearchus in Laudatione Platonis et Anaxilaides secundo De philosophis libro asserunt Athenis famam esse Aristonem Perictionæ, quum esset speciosissima, vim inferre conatum esse : verum fuisse illius conatus irritos, vidisseque in somnis Apollinem, atque eo auctore mundam a conjugali copula, quoad pareret, uxorem servasse.

## DE HIS QUÆ IN PLATONIS REP. EX RATIONE MATHEMATICA DICTA SUNT.

### 44.

De venatione coturnicum singulare quiddam tradit Clearchus Solensis in libro qui inscribitur De his quæ in Platonis Republ. ex ratione mathematica dicta sunt, ubi ita scribit : « Coturnices quo tempore veneris prurilu concitantur, si quis ex adverso earum speculum posuerit, et tendiculam ante speculum, currentes ad imaginem in speculo conspectam, incidunt in tendiculam. » Idem de graculis,

κολοιοῖς δέ, διὰ τὴν φυσικὴν φιλοστοργίαν. Καὶ γὰρ τοσοῦτον πανουργίᾳ διαφέρουσιν, ὅμως ὅταν ἐλαίου κρατὴρ τεθῇ πλήρης, οἱ στάντες αὐτῶν ἐπὶ τὸ χεῖλος, καὶ καταβλέψαντες ἐπὶ τὸν ἐμφαινόμενον, καταράττουσι. Διόπερ ἐλαιοβρόχων γενομένων, ἡ τῶν πτερῶν αὐτοῖς συγκόλλησις αἰτία γίνεται τῆς ἁλώσεως. »

## ΑΡΚΕΣΙΛΑΣ.

### 44 a.

Schol. Platon. p. 451 Bekk. : Παρὰ παροιμίας φησὶ τῆς « Κινήσω τὸν ἀφ' ἱερᾶς, » ἡ τέτακται ἐπὶ τῶν τὴν ἐσχάτην βοήθειαν κινούντων. Μετείληπται δὲ ἀπὸ τῶν πεττευόντων. Παρὰ τούτοις γὰρ κεῖταί τις ψῆφος οἷον ἱερὰ καὶ ἀκίνητος, θεῶν νομιζομένη, ὥς φησι Κλέαρχος ἐν Ἀρκεσίλᾳ. — De proverbio cf. Diogenian. III, 36, Apostol. V, 14 et quæ multa Leutschius congessit ad Diogenian. V, 41. Eustathius ad Odyss. p. 1397, 33 de Græcorum πεττείᾳ agens inter alia affert : Κλέαρχος τοῖς πέντε φησὶ πλάνησιν ἀναλογεῖν (sc. τοὺς πέντε πεσσοὺς τῶν πεττευόντων). — De argumento libri Ἀρκεσιλᾶς parum liquet. Verisimillimum tamen est fuisse de Arcesilao Academico, Clearchi æquali, qui vitam duxit usque ad an. 241 a. Chr. (v. Clinton. ad an. 299). — Fortasse etiam de aliis philosophis Clearchus scripsit. Quod si est, pertinuerint huc quæ de Pythagora et de Septem sapientibus afferuntur.

### 44 b.

A. Gellius IV, 11, de Pythagoræ transformationibus. Vide Dicæarchi fr. 30. Eadem habet Phlegon De mirab. c. 4, ubi pro Κλείταρχος reponendum Κλέαρχος esse monuimus ad Clitarchi fr. 25.

### 44 c.

Diogenes L. I, 30, de phiala quam Crœsus sapientissimo Græcorum dari voluit : Δαίδαλος δ' ὁ Πλατωνικὸς καὶ Κλέαρχος φιάλην ἀποσταλῆναι ὑπὸ Κροίσου Πιττακῷ καὶ οὕτω περιενεχθῆναι (φασίν).

Idem I, 81, de Pittaco : Τούτῳ γυμνασία ἦν σῖτον ἀλεῖν, ὥς φησι Κλέαρχος ὁ φιλόσοφος.

Stobæus Floril. XXI, 12, de dicterio Γνῶθι σεαυτόν : Εἴτε Κλεάρχῳ προσεκτέον μᾶλλον τοῦ μὲν Πυθίου φράζοντι εἶναι παράγγελμα, χρησθῆναι δὲ Χείλωνι τὸ ἄριστον ἀνθρώποις μαθεῖν πυνθανομένῳ.

Apostolius VI, 42 : Οἱ πολλοὶ δὲ Χίλωνος εἶναι τὸ ἀπόφθεγμα (φασίν)· Κλέαρχος δὲ ὑπὸ τοῦ θεοῦ λεχθῆναι Χίλωνι Δαμαγήτου Λακεδαιμονίῳ. Chilonem sententiam sibi vindicasse, ἐξιδιοποιεῖσθαι, narrat Diogenes L. I, 40. De auctorum variis opinionibus v. Schneidewin. Parœm. I, p. 391. Ceterum locus noster etiam ad Proverbiorum opus potest referi.

## ΠΕΡΙ ΠΑΡΟΙΜΙΩΝ.

### 45.

### E LIBRO PRIMO.

Athenæus X, p. 457, C : Τίνα δὲ κόλασιν ὑπέμενον Ἀθήνησιν οἱ μὴ λύσαντες τὸν προτεθέντα γρῖφον, εἴ γε ἔπινον φιάλην κεκερασμένην, ὡς καὶ ὁ Κλέαρχος προεῖπεν ἐν τῷ Ὅρῳ; Κἀν τῷ πρώτῳ δὲ Περὶ παροιμιῶν γράφει οὕτως· « Τῶν γρίφων ἡ ζήτησις οὐκ ἀλλοτρία φιλοσοφίας ἐστί. Καὶ οἱ παλαιοὶ τὴν τῆς παιδείας ἀπόδειξιν ἐν τούτοις ἐποιοῦντο. Προέβαλλον γὰρ παρὰ τοὺς πότους, οὐχ ὥσπερ οἱ νῦν ἐρωτῶντες ἀλλήλους, τίς τῶν ἀφροδισιαστικῶν συνδυασμῶν, ἢ τίς ἢ ποῖος ἰχθὺς ἥδιστος, ἢ τίς ἀκμαιότατος, ἔτι δὲ τίς μετ' Ἀρκτοῦρον ἢ μετὰ Πλειάδα, ἢ τίς μετὰ Κύνα μάλιστα βρωτός. Καὶ ἐπὶ τούτοις ἆθλα μὲν τοῖς νικῶσι φιλήματα, μίσους ἄξια τοῖς ἐλευθέραν αἴσθησιν ἔχουσι, ζημίαν δὲ τοῖς ἡττηθεῖσι τάττουσιν ἄκρατον πιεῖν, ὃν ἥδιον τῆς ὑγιείας πίνουσιν. Κομιδῇ γάρ ἐστι ταῦτά γε τινὸς τοῖς Φιλαινίδος καὶ τοῖς Ἀρχεστράτου συγγράμμασιν ἐνωμιληκότος, ἔτι δὲ περὶ τὰς καλουμένας Γαστρολογίας

---

qui vocantur, simile quiddam narrat, dicens : « Atque etiam graculis tale quid accidit propter innatum sui similium amorem. His enim, quamvis adeo versutia præstantibus, tamen si patera apponatur oleo repleta, in labio pateræ residentes, et introrsum spectantes, cum impetu ruunt versus avem quam intus conspexerunt. Itaque oleo madentibus conglutinantur alæ, et facile ipsæ capiuntur. »

## ARCESILAUS.

### 44 c.

Dædalus Platonicus et Clearchus phialam a Crœso ad Pittacum missam atque sic per orbem (sapientium) circumlatam esse dicunt.

Pittaco exercitium erat triticum molere, ut Clearchus philosophus testatur.

## DE PROVERBIIS.

### 45.

Quasnam vero pœnas dabant Athenis hi qui propositum griphum solvere non possent, si quidem phialam mixtam biberunt, ut ait Clearchus in Definitione? Idem vero etiam libro primo De adagiis sic scribit : « Griphorum propositio solutioque non est aliena a philosophia, et in his veteres specimen edebant eruditionis. Quas enim in conviviis quæstiones proponebant, non erant illæ similes his quæ nostris temporibus agitari solent, quum quærunt invicem, quodnam genus venerei concubitus sit jucundissimum, aut quis qualisve piscis sit suavissimus, aut quis maxime in præsens vigeat? tum quis post Arcturi aut Pleiadum ortum, aut post Caniculam maxime edendo sit? Et super his præmia vincentibus statuunt oscula, odiosa hominibus ingenuum sensum habentibus; pœnam vero victis, bibere merum, quod libentius bibunt quam sanitatis poculum. Sunt sane

ἐσπουδακότος· ἀλλὰ μᾶλλον τὰς τοιαύτας, τῷ πρώτῳ ἔπος ἰαμβεῖον εἰπόντι τὸ ἐχόμενον ἕκαστον λέγειν, καὶ τῷ κεφάλαιον εἰπόντι ἀντειπεῖν τὸ ἑτέρου ποιητοῦ τινος, εἰ τὴν αὐτὴν εἶπε γνώμην· ἔτι δὲ λέγειν ἕκαστον ἰαμβεῖον. Πρός τε τούτοις ἕκαστον εἰπεῖν ὅσων ἂν προσταχθῇ συλλαβῶν ἔμμετρον· καὶ ὅσ' ἀπὸ τῆς τῶν γραμμάτων καὶ συλλαβῶν ἔχεται θεωρίας. Ὁμοίως δὲ τοῖς εἰρημένοις ἡγεμόνος ἑκάστου λέγειν ὄνομα τῶν ἐπὶ Τροίαν ἢ τῶν Τρώων· καὶ πόλεως ὄνομα τῶν ἐν τῇ Ἀσίᾳ λέγειν ἀπὸ τοῦ δοθέντος γράμματος, τὸν δ' ἐχόμενον τῶν ἐν τῇ Εὐρώπῃ, καὶ τοὺς λοιποὺς ἐναλλάξαι, ἄν τε Ἑλληνίδος ἄν τε βαρβάρου τάξῃ τις. Ὥστε τὴν παιδιὰν μὴ ἄσκεπτον οὖσαν μηνύματα γίνεσθαι τῆς ἑκάστου πρὸς παιδείαν οἰκειότητος. Ἐφ' οἷς ἆθλον ἐτίθεσαν στέφανον καὶ εὐφημίαν, οἷς μάλιστα γλυκαίνεται τὸ φιλεῖν ἀλλήλους. » Ταῦτα μὲν οὖν Κλέαρχος εἴρηκε.

46.

Idem XV, p. 701, C : Κλέαρχος ὁ Σολεὺς, οὐδενὸς ὢν δεύτερος τῶν τοῦ σοφοῦ Ἀριστοτέλους μαθητῶν, ἐν τῷ προτέρῳ Περὶ παροιμιῶν τὴν Λητώ φησιν ἐκ Χαλκίδος τῆς Εὐβοίας ἀνακομίζουσαν εἰς Δελφοὺς Ἀπόλλωνα καὶ Ἄρτεμιν, γενέσθαι παρὰ τὸ τοῦ κληθέντος Πύθωνος σπήλαιον. Καὶ φερομένου τοῦ Πύθωνος ἐπ' αὐτοὺς, ἡ Λητὼ, τῶν παίδων τὸν ἕτερον ἐν ταῖς ἀγκάλαις ἔχουσα, προσβᾶσα τῷ λίθῳ τῷ νῦν ἔτι κειμένῳ ὑπὸ τῷ ποδὶ τῆς χαλκῆς εἰργασμένης Λητοῦς, (ὃ τῆς τότε πράξεως μίμημα γενόμενον ἀνάκειται παρὰ τὴν πλάτανον ἐν Δελφοῖς,) εἶπεν· Ἰε παῖ. Τυχεῖν δὲ τόξα μετὰ χεῖρας ἔχοντα τὸν Ἀπόλλωνα. Τοῦτο δ' ἐστὶν ὡς ἂν εἴποι τις· ἄφιε παῖ, καί· βάλε παῖ. Διόπερ ἀπὸ τούτου λεχθῆναί φασι τὸ Ἰε παῖ, καὶ Ἰε παιών.

## E LIBRO SECUNDO.

47.

Athenæus VII, p. 317, A : Ἱστορεῖται δὲ καὶ, ὅτι φεύγων (ὁ πουλύπους) διὰ τὸν φόβον μεταβάλλει τὰς χρόας, καὶ ἐξομοιοῦται τοῖς τόποις, ἐν οἷς κρύπτεται, ὡς καὶ ὁ Μεγαρεὺς Θέογνίς φησιν ἐν ταῖς Ἐλεγείαις·

> Πουλύπου ὀργὴν ἴσχε πολυπλόκου, ὃς ποτὶ πέτρῃ
> τῇ προσομιλήσῃ, τοῖος ἰδεῖν ἐφάνη.

Ὁμοίως ἱστορεῖ καὶ Κλέαρχος ἐν δευτέρῳ Περὶ παροιμιῶν, παρατιθέμενος τάδε τὰ ἔπη, οὐ δηλῶν ὅτου ἐστί,

> Πουλύποδός μοι, τέκνον, ἔχων νόον, Ἀμφίλοχ' ἥρως,
> τοῖσιν ἐφαρμόζου, τῶν κεν κατὰ δῆμον ἵκηαι.

Περὶ δὲ Τροιζῆνα τὸ παλαιὸν, φησὶν ὁ αὐτὸς Κλέαρχος, οὔτε τὸν ἱερὸν καλούμενον πουλύπουν, οὔτε τὸν κωπηλάτην πουλύπουν, νόμιμον ἦν θηρεύειν, ἀλλ' ἀπεῖπον, τούτων τε καὶ τῆς θαλαττίας χελώνης μὴ ἅπτεσθαι. Ὁ δὲ πουλύπους ἐστὶ συντηκτικὸς, καὶ λίαν ἀνόητος. Πρὸς γὰρ τὴν χεῖρα τῶν διωκόντων βαδίζει, καὶ διωκόμενος ἔστιν ὅτε οὐχ ὑποχωρεῖ. Συντήκονται δ' αὐτῶν αἱ θήλειαι μετὰ τὸν τόκον, καὶ παρίενται· διὸ καὶ ῥᾳδίως ἁλίσκονται. Ἑωράθησαν δέ ποτε καὶ ἐπὶ

---

hæc prorsus talia, ut iis conveniant hominibus qui Philænidis et Archestrati scriptis innutriti sunt, et omnino gastrologiis (l. e. iis doctrinis quæ ventrem curare docent) dant operam. Sed tales potius quæstiones olim proponebant. Postquam primus versum aliquem dixisset, tenebatur quisque dicere versum sequentem; aut si quis primus aliquem locum communem (e poeta quodam) protulisset, singuli dicebant alterius cujusdam poetæ locum, si quis eandem sententiam enuntiasset. Ac deinde singuli iambum etiam recitare tenebantur. Ad hæc recitare jubebantur versum quemcumque tot syllabarum quot esset præscriptum: item quæcumque pertinent ad litterarum aut syllabarum notitiam. Similiter jubebantur nomina dicere unius cujusque e ducibus Græcorum ad Trojam, vel e ducibus Trojanorum; aut edere nomen civitatis Asiæ a data quadam littera incipiens, tum proximus nominare debebat Europæ urbem, et reliqui per vices pergere, sive Græcæ civitatis sive barbaricæ nomen fuisset quæsitum. Itaque lusus ille, quum non inconsultus esset, occasionem præbebat unicuique eruditionis suæ specimen edendi. Et præmium propositum erat corona et plausus : quibus rebus maxime dulcescit mutua amicitia. » Hæc igitur Clearchus scripsit.

46.

Clearchus Solensis, discipulorum sapientis Aristotelis nulli secundus, primo libro De parœmiis, « Latonam, ait, quum ex Chalcide Eubœæ Apollinem et Dianam Delphos duceret, ad Pythonis qui vocatur specum fuisse. Ibi quum in eos Python impetum faceret, Latona liberorum alterum ulnis complexa saxum illud conscendit, quod etiamnum pedi Latonæ ex ære fabricatæ subjectum est, imaginem rei tunc gestæ continens, prope Delphicam platanum dedicatum, dixitque : Ἰε, παῖ, quum forte tela manibus teneret Apollo. Id est autem quasi dicas : « Mitte telum, fili » et : « feri, fili. » Itaque ab illo tempore aiunt dici solitum illud : Ἰε παῖ et Ἰε παιών.

47.

Traditur porro, ubi per metum fugiat, mutare polypum colorem, et similem fieri locis in quibus occultetur : quemadmodum etiam Megarensis Theognis in elegiis ait :

> Polypi mentem tene versipellis, qui petræ
> cuicumque adhæserit, talis visu apparet.

Similiter et Clearchus tradit secundo libro De proverbiis, ubi hos etiam versus apposuit, cujusnam sint auctoris non declarans :

> Polypodis mihi, fili, mentem tenens, Amphiloche nobilis:
> eis te accommoda, quorumcunque ad gentem veneris.

Idem Clearchus scribit, circa Trœzenem olim nefas habitum esse venari vel eum qui sanctus dicitur polypum, vel polypum remigantem. Vetitum erat quum his vesci, tum et marina testudine. Est autem polypus tabi obnoxius, et alioqui valde brutus. Etenim ad eorum manum qui captant accedit, et a persequentibus interdum se non recipit. Tabescunt autem eorum feminæ post partum, et elanguescunt; quare et facile capiuntur. Conspecti sunt etiam nonnunquam in siccum exeuntes, maxime vero in loca

« Διὰ τὸ μικροῦ δεῖσθαι πυρὸς ἐν τοῖς τηγάνοις οἱ περὶ Ἀρχέστρατον ἐπιβάλλοντες κελεύουσιν ἐπὶ θερμὸν τήγανον σίζουσαν ἀφαιρεῖν. Ἅμα δ' ἧπται καὶ σίζει, καθάπερ τοὔλαιον, εὐθύς. Διὸ λέγεται, Ἴδε πῦρ ἀφύη. »

53.

Idem IV, p. 160, C : Κλέαρχος δὲ, ὁ ἀπὸ τοῦ περιπάτου, ἐν τοῖς Περὶ παροιμιῶν ὡς παροιμίαν ἀναγράφει τὸ « Ἐπὶ τῇ φακῇ μύρον. »

54.

Idem III, p. 116, D : Ἀλλ' ἐπεὶ περὶ ταρίχων ἐστὶν ὁ λόγος, περὶ ὧν οἶδα καὶ παροιμίαν μνήμης ἠξιωμένην ὑπὸ τοῦ Σολέως Κλεάρχου·

Σαπρὸς τάριχος τὴν ὀρίγανον φιλεῖ.

55.

Zenobius V, 44 : Οἰταῖος δαίμων· Κλέαρχός φησιν, ὅτι δαίμων τις Οἰταῖος ἐπωνομάσθη, ὃς ὕβριν καὶ ὑπερηφανίαν πάνυ ἐμίσησεν. « Eadem Plutarch. Prov. 96. Diogen. VII, 23. Aut Hercules aut Juppiter significatur. Cf. Propert. III, 1, 31. Heyn. ad Apollod. II, p. 197. » Leutsch.

56.

Idem V, 48 : Οὗτος ἄλλος Ἡρακλῆς· Κλέαρχος ἐξηγούμενος τὴν παροιμίαν φησὶ τὸν Βριάρεω καλούμενον Ἡρακλέα ἐλθεῖν εἰς Δελφοὺς καὶ λαβόντα τι τῶν ἐκεῖ κειμηλίων κατά τι παλαιὸν ἔθος, ὁρμῆσαι ἐπὶ τὰς Ἡρακλέους στήλας καλουμένας καὶ τῶν ἐκεῖ περιγενέσθαι. Χρόνῳ δὲ ὕστερον τὸν Τύριον Ἡρακλέα ἐλθεῖν εἰς Δελφοὺς χρησόμενον τῷ μαντείῳ· τὸν δὲ θεὸν προσειπεῖν αὐτὸν ἄλλον Ἡρακλέα· καὶ οὕτω τὴν παροιμίαν κρατῆσαι.

Cf. Diogenian. I, 63 ibique laudata a Gœttingensibus. Ceterum pertinet huc Tzetzes ad Lyc. 549 : Κλέαρχος τὰς κατὰ Γάδειρα στήλας τοῦ Βριάρεω Ἡρακλέος εἶναι λέγει, μεθ' ὃν δεύτερος Ἡρακλῆς ὁ Τύριος ἦλθεν ἐπὶ τὰ Γάδειρα καὶ τρίτος Ἕλλην. Nihil erat cur Reinesius ap. Müllerum Κλέαρχος mutari vellet in Κλείταρχος. Ex libro Περὶ θινῶν sive De arenosis desertis (Athen. VIII, p. 345, D) locum petitum esse opinabatur Müllerus ad h. l.

57.

Schol. Platon. p. 381 Bekk. postquam de proverbio Πρὸς δύο οὐδ' ὁ Ἡρακλῆς apposuit explicationem Duridis et Echephyllidis, addit : Τὰ δὲ αὐτὰ καὶ Φερεκύδης καὶ Κώμαρχος καὶ Ἴστρος ἐν τοῖς Ἠλιακοῖς ἱστοροῦσι. In his pro Κώμαρχος reponendum esse Κλέαρχος monui ad Herodor. fr. 14. Verba scholii v. in Pherecyd. fr. 36.

58.

Zenobius VI, 28, de proverbio : Ὑπὲρ τὰ Καλλικράτους. Vide Aristot. fr. 69.

59.

Schol. Platon. p. 319 ed. Bekk. : Κλέαρχος δέ φησιν ὑπὸ Χαλκιδέων τῶν ἐν Εὐβοίᾳ πεμφθῆναι δῶρα εἰς Δελφοὺς Ἀπόλλωνι καὶ Ἀρτέμιδι· τῶν δὲ Δελφῶν μαντευομένων, εἰ ἐξ ἴσης τὴν ἀνάθεσιν ποιήσωνται, ἔφησεν ὁ θεός· Κοινὰ τὰ τῶν φίλων. Aliter de his Timæus apud Zenob. IV, 79. Cf. Leutsch. et Schneidewin. Parœm. I, p. 106 et 266.

60.

Hesychius : Διομήδειος ἀνάγκη· παροιμία. Κλέαρχος μέν φησι, Διομήδους θυγατέρας γενέσθαι πολὺ μοχθηράς, αἷς ἀναγκάζειν πλησιάζειν τινάς, καὶ εὐθὺς αὐτοὺς φονεύειν. Clearchi explicationem præbent etiam schol. in Aristoph. Eccl. 1074, Suidas s. v. et Apostolius VII, 15. Aliorum sententiam v. ap. Zenob. III, 8 ibique professores Gœttingenses.

---

Archestratus, calidæ injectam sartagini auferri stridentem. Simul enim atque stridet, continuo etiam cocta est, sicut oleum. Itaque dici solet : *Vidit ignem apua.* »

53.

Clearchus Peripateticus, in libris De proverbiis etiam illud in proverbiis recenset : « In lente unguentum. »

54.

Sed quoniam de salsamentis agitur, quibus de novi etiam proverbium, quod memoratu dignum judicavit Clearchus Solensis :

Vetustum salsamentum origanum amat.

55.

*Œtæus genius*] Clearchus dæmonem quendam Œtæum cognominatum esse ait, qui injuriam et arrogantiam vehementer odisset.

56.

*Alter hic Hercules.*] Interpretans Clearchus hoc proverbium, Briareum, qui et Hercules est nominatus, Delphos venisse refert, sublatoque inde ex thesauris aliquo donario, more quodam prisco, ad columnas quæ Herculeæ vocantur navigasse, et ibi victorem exstitisse. Post vero Herculem Tyrium Delphos ad oraculum consulendum delatum, quem alloquens deus alium Herculem appellasset, indeque valuisse proverbium.

59.

Clearchus dicit a Chalcidensibus Eubœæ dona missa esse Delphos Apollini et Dianæ. Delphis vero interrogantibus num ex æquo dedicatio ipsis facienda sit, deum respondisse : *Res amicorum communes.*

60.

*Diomedea necessitas.* Clearchus dicit Diomedis filias moribus fuisse improbissimis. Diomedem nonnullos coegisse cum iis consuescere, eoque facto statim eos interficere solitum esse.

Ceterum confer proverbia, quæ in Βίων opere passim laudantur fr. 5, 19, 20, et quod posuimus fr. 44. c.

## ΠΕΡΙ ΓΡΙΦΩΝ.

### 61.

Athenæus XIV, p. 620, C: Κλέαρχος ἐν τῷ προτέρῳ Περὶ γρίφων (vgo. γραφῶν)· « Τὰ Ἀρχιλόχου (φησὶν) ὁ Σιμωνίδης ὁ Ζακύνθιος ἐν τοῖς θεάτροις ἐπὶ δίφρου καθήμενος ἐρραψῴδει. Vulgatam Περὶ γραφῶν tuetur Schweighæuserus ad h. l. « In libro qui Περὶ γραφῶν, id est *De picturis*, inscriptus erat, occasionem de rhapsodis disputandi inde fortasse ceperat Clearchus, quod illi baculum manu tenentes in pictis tabulis ostendere consueverant auditoribus formas hominum rerumve, de quibus agebatur in carminibus quæ ab illis decantabantur (!). »

### 62.

Idem VII, p. 275, B: Κλέαρχος Ἀριστοτέλους μαθητής, Σολεὺς δὲ τὸ γένος, ἐν τῷ προτέρῳ Περὶ γρίφων (γραφῶν vgo) (κρατῶ γὰρ καὶ τῆς λέξεως διὰ τὸ σφόδρα μοι εἶναι προσφιλῆ) οὑτωσί πως εἴρηκε· « Φαγήσια, οἱ δὲ Φαγησιπόσια προσαγορεύουσι τὴν ἑορτήν. Ἐξέλιπε δὲ αὕτη, καθάπερ ἡ τῶν ῥαψῳδῶν, ἣν ἦγον κατὰ τὴν τῶν Διονυσίων· ἐν ᾗ παριόντες ἕκαστοι τῷ θεῷ, οἷον τιμὴν ἀπετέλουν τὴν ῥαψῳδίαν. » Ταῦτ' εἶπεν ὁ Κλέαρχος. Εἰ δ' ἀπιστεῖς, ὦ ἑταῖρε, καὶ τὸ βιβλίον κεκτημένος οὐ φθονήσω σοί· ἀφ' οὗ πολλὰ ἐκμαθὼν εὐπορήσεις προβλημάτων. Καὶ γὰρ Καλλίαν ἱστορεῖ, τὸν Ἀθήναιον γραμματικὴν συνθεῖναι τραγῳδίαν, ἀφ' ἧς ποιῆσαι τὰ μέλη καὶ τὴν διάθεσιν Εὐριπίδην ἐν Μηδείᾳ, καὶ Σοφοκλέα τὸν Οἰδίπουν.

### 63.

Idem X, p. 448, C: Ὁ μὲν Σολεὺς Κλέαρχος οὕτως ὁρίζεται· « Γρῖφος πρόβλημα ἐπιπαιστικὸν, προστακτικὸν τοῦ διὰ ζητήσεως εὑρεῖν τῇ διανοίᾳ τὸ προβληθὲν, τιμῆς ἢ ἐπιζημίου χάριν εἰρημένον. » Ἐν δὲ τῷ Περὶ γρίφων ὁ αὐτὸς Κλέαρχός φησιν ἑπτὰ εἴδη εἶναι γρίφων. « Ἐν γράμματι μὲν, οἷον ἐροῦμεν ἀπὸ τοῦ ἄλφα, ὡς ὄνομά τι ἰχθύος ἢ φυτοῦ. Ὁμοίως δὲ κἂν ἔχειν τι κελεύῃ τῶν γραμμάτων, ἢ μὴ ἔχειν· καθάπερ οἱ ἄσιγμοι καλούμενοι τῶν γρίφων· ὅθεν καὶ Πίνδαρος πρὸς τὸ σ ἐποίησεν ᾠδὴν, οἱονεὶ γρίφου τινὸς ἐν μελοποιΐᾳ προβληθέντος. Ἐν συλλαβῇ δὲ λέγονται γρῖφοι, οἷον ἐροῦμεν ἔμμετρον ὁτιδήποτε, οὗ ἡγεῖται βα, οἷον βασιλεύς· ἢ ὧν ἔχει τελευτὴν τὸ ναξ, ὡς Καλλιάναξ· ἢ ὧν τὸν λέοντα καθηγεῖσθαι, οἷον Λεωνίδης· ἢ ἔμπαλιν τελικὸν εἶναι, οἷον Θρασυλέων. Ἐν ὀνόματι δὲ, οἷον ἐροῦμεν ὀνόματα ἁπλᾶ ἢ σύνθετα δισύλλαβα, οὗ μορφή τις ἐμφαίνεται τραγικὴ, ἢ πάλιν ταπεινή· ἢ ἄθεα ὀνόματα, οἷον Κλεώνυμος, ἢ θεοφόρα, οἷον Διονύσιος. Καὶ τοῦτο ἤτοι ἐξ ἑνὸς θεοῦ ἢ πλεόνων, οἷον Ἑρμαφρόδιτος· ἢ ἀπὸ Διὸς ἄρχεσθαι, Διοκλῆς· ἢ Ἑρμοῦ, Ἑρμόδωρος· ἢ λήγειν, εἰ τύχοι, εἰς νικος. Οἱ δὲ μὴ εἰπόντες οἷς προσετάττετο ἔπινον τὸ ποτήριον. » Καὶ ὁ μὲν Κλέαρχος οὕτως ὡρίσατο. V. Casauboni Excurs. ad h. l.

---

## DE GRIPHIS.

## E LIBRO PRIMO.

### 61.

Clearchus, priore libro De griphis, ait: « Archilochi carmina in theatris decantavit Simonides Zacynthius, super sella sedens. »

### 62.

Clearchus, Aristotelis discipulus, genere Solensis, priore libro De griphis (nam ipsa verba teneo, quoniam perquam mihi carus est) in hunc fere modum scripsit: « Phagesia; alii vero Phagesiposia id festum vocant. Desitum autem est illud celebrari, quemadmodum rhapsodorum festum, quod Bacchanalium tempore agebant, quo prodeuntes singuli rhapsodiam canebant, veluti deo honorem tribuentes. » Hæc Clearchus scripsit. Quod si tu minus credis, amice, ipsum etiam librum, quum possideam, lubens tecum communicabo, e quo multa addiscere poteris, quibus cognitis suppetet tibi difficilium quæstionum proponendarum copia. Narrat enim idem quoque, Calliam Atheniensem grammaticam tragœdiam composuisse, e qua Euripides in Medea, et Sophocles in Œdipo et carminum exemplum et argumenti tractationem sumpserint.

### 63.

Solensis quidem Clearchus griphum ita definit: « Griphus est problema ludicrum quo jubemur quærendo invenire mentis cogitatione id quod propositum est, quod honoris aut mulctæ causa dicitur. » In tractatu vero De griphis idem Clearchus ait, septem esse species griphorum. In littera, quum dicendum est nomen, veluti piscis aut plantæ, a certa littera, verbi causa ab α incipiens. Similiter quum jubet (is qui griphum proponit) dicere quidpiam cui insit aut non insit certa quædam littera. Tales sunt quos asigmos vocant griphos: unde et Pindarus (v. *fr.* 68) in σ litteram oden fecit, quasi quodam gripho in lyrico carmine proposito. In syllaba vero dicuntur griphi, quum dicere jubemur versum quempiam, a βα syllaba, velut in voce βασιλεύς, incipientem, aut in ναξ, verbi causa in Καλλιάναξ, desinentem: aut (versus quosdam) quorum in fronte sit leo, verbi causa nomen Leonidas; aut quorum in fine, ut Thrasyleon. In nomine vero, quum dicimus nomina simplicia aut composita disyllaba, quibus significetur forma quædam tragica, sive rursus humilis, ut nomina deo carentia, verbi causa Cleonymus; aut deum habentia, ut Dionysius: et quidem sive unum tantummodo, sive plures, ut Hermaphroditus; aut quæ incipiant a Jove, ut Diocles; aut a Mercurio, ut Hermodorus; aut quæ desinant, verbi causa, in νικος (Victoriam), [ut Epinicus]. Quibus vero tale quid imperabatur, ii si dicere non poterant, propositum poculum ebibebant. » Atque ita quidem definiit Clearchus.

Schol. Aristoph. Vesp. 20 : Ἑπτὰ δὲ ἀναγράφει αὐτῶν (γρίφων) γένη ὁ Κλέαρχος ἐν τῷ Περὶ γρίφων συντάγματι. Γρῖφοι δὲ λέγεται τὰ ἐν τοῖς συμποσίοις προβαλλόμενα αἰνιγματώδη ζητήματα.

64.

Athenæus X, p. 457, C : Τίνα δὲ κόλασιν ὑπέμενον Ἀθήνησιν οἱ μὴ λύσαντες τὸν προτεθέντα γρῖφον, εἴ γε ἔπινον φιάλην κεκερασμένην, ὡς καὶ Κλέαρχος προεῖπεν ἐν τῷ Ὅρῳ;

ἐν τῷ ὅρῳ] « Intelligitur autem ὅρος τοῦ γρίφου; ac fortasse prior is liber fuerat eorum, qui περὶ γρίφων inscripti erant. » *Schweigh.*

65.

Idem XIV, p. 648, F : Τοῦ δὲ ἡμῖν παρακειμένου μελιπήκτου μέμνηται Κλέαρχος ὁ Σολεὺς ἐν τῷ Περὶ γρίφων (γραφῶν olim edebatur), οὑτωσὶ λέγων· « Σκεύη κελεύοντα (κελεύοντος Schw.) λέγειν ὅμοια, εἰπεῖν·

Τρίπους, χύτρα, λυχνεῖον, ἰσταία, βάθρον,
σπόγγος, λέβης, σκαφεῖον, ὅλμος, λήκυθος,
σπυρίς, μάχαιρα, τρυβλίον, κρατήρ, ῥαφίς.

Καὶ πάλιν ὄψων, οὕτως·

Ἔτνος, φακῆ, τάριχος, ἰχθύς, γογγυλίς,
σκόροδον, κρέας, θύννειον, ὠμή, κρόμμυον,
σκόλυμος, ἐλαία, κάππαρις, βολβός, μύκης.

Ἐπί τε τῶν τραγημάτων ὁμοίως·

Ἄμης, πλακοῦς, ἔντιλτος, ἴτριον, ῥόα,
ᾠόν, ἐρέβινθος, σησάμη, κοπτή, βότρυς,
ἰσχάς, ἄπιος, πέρσεια, μῆλ', ἀμύγδαλα. »

66.

Idem X, p. 452, B : Πολλοὶ δὲ γρίφων καὶ τοιοῦτοί τινές εἰσιν, οἷον·

Ἄνδρ' εἶδον πυρὶ χαλκὸν ἐπ' ἀνέρι κολλήσαντα
οὕτω συγκόλλως, ὥστε σύναιμα ποιεῖν.

Τοῦτο δὲ σημαίνει σικύας προσβολήν. Καὶ τὸ Πανάρκους δ' ἐστὶ τοιοῦτον, ὥς φησι Κλέαρχος ἐν τῷ Περὶ γρίφων, ὅτι βάλοι ξύλῳ τε καὶ οὐ ξύλῳ καθημένην ὄρνιθα καὶ οὐκ ὄρνιθα ἀνήρ τε καὶ οὐκ ἀνὴρ λίθῳ τε καὶ οὐ λίθῳ.

De hoc gripho vide Schol. Platon. p. 167 Ruhnk. et Eustath. (Athenæum exscribens) ad Il. p. 713, 10 Rom. Suidas v. Αἶνος, et Schweigh. ad Athen. l. l.

67.

Idem X, p. 452, F : Τῷ δὲ Θεοδέκτει παραπλησίως ἔπαιζε γρίφους καὶ Δρομέας ὁ Κῷος, ὥς φησι Κλέαρχος· καὶ Ἀριστώνυμος ὁ ψιλοκιθαριστής, ἔτι δὲ Κλέων ὁ μίμαυλος ἐπικαλούμενος, ὅσπερ καὶ τῶν Ἰταλικῶν μίμων ἄριστος γέγονεν αὐτοπρόσωπος ὑποκριτής. Quæ deinde sequitur apud Athenæum longa exemplorum series ex eodem Clearcho petita fuerit.

68.

Idem X, p. 455, A : Τὸ δὲ Καστορίωνος τοῦ Σολέως, ὡς ὁ Κλέαρχός φησιν, εἰς τὸν Πᾶνα ποίημα τοιοῦτόν ἐστι· τῶν ποδῶν ἕκαστος ὅλοις ὀνόμασι περιειλημμένος πάντας ὁμοίως ἡγεμονικοὺς καὶ ἀκολουθητικοὺς ἔχει τοὺς πόδας, οἷον·

Σὲ τὸν βόλοις νιφοκτύποις δυσχείμερον
ναίονθ' ἕδος, θηρονόμε Πάν, χθόν' Ἀρκάδων,
κλήσω γραφῇ τῇδ' ἐν σοφῇ πάγκλειτ' ἔπη
συνθείς, ἄναξ, δύσγνωστα μὴ σοφοῖς κλύειν,
Μουσοπόλε θήρ, κηρόχυτον ὃς μείλιγμ' ἵης.

---

64.

Quasnam vero pœnas dabant Athenis hi qui propositum griphum solvere non possent, si quidem phialam mixtam biberunt, ut ait Clearchus in Definitione?

65.

Appositi nobis dulciarii operis Clearchus meminit Solensis in libro De griphis, ubi ita scribit : si quis vasa jubeat nominari similia, dicendum :

Tripus, chytra, candelabrum, mortarium, scamnum,
spongia, lebes, pala, pila, olearia ampulla,
sporta, culter, catinus, calix, acus.

Rursus obsoniorum nomina, hoc modo :

Puls fabacea, lenticula, salsamentum, piscis, rapum,
allium, caro, thynni pulpamentum, muria, cepa,
cardaus edulis, oliva, capparis, bulbus, fungus.

De bellariis similiter :

Ames, placenta, entiltus, itrium, punicum malum,
ovum, cicer, sesamum, copta, uva,
carica, pyrum, persica, poma (s. mala Persica), amygdalæ.

66.

Sunt vero multi etiam griphi similes illi :

Virum vidi igne æs viro adglutinantem
ita tenaciter, ut fierent consanguinei.

Quo significatur admota cucurbitula. Tale etiam illud Panarcis est, ut ait Clearchus in libro De griphis, nempe : « Feruit ligno nec ligno insidentem avem nec avem vir nec vir lapide nec lapide. »

67.

Quemadmodum Theodectes, similiter etiam griphis ludere Dromeas Cous solebat, ut ait Clearchus : item Aristonymus, qui pulsanda nuda cithara nullo adhibito cantu excelluit : itemque Cleo is qui Mimaulus cognominatus est, Italicorum mimorum solertissimus histrio non personatus.

68.

Castorionis Solensis, ut memorat Clearchus, carmen in Panem ejusmodi est : singuli versus iis pedibus constant, qui integris verbis comprehenduntur, et omnes perinde vel ante alios poni vel illis postponi possunt. Verbi gratia :

Σὲ τὸν βόλοις νιφοκτύποις δυσχείμερον etc.

Id est :

Te, qui nivibus cum impetu cadentibus infestam
habitas sedem, ferarum altor Pan, terram Arcadiam,
invocabo scripto hocce sapiente, inclytos versus
componens, difficiles intellectu parum eruditis :
o Fere musarum sodalis, qui cerata tibi mollia carmina
fundis.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

SAVE $3,999,994

Did you know we sell paperback books too?

To buy our entire catalog in paperback would cost over $4,000,000

Access it all now for $8.99/month

*Fair usage policy applies

Continue

« καί τισιν ἑτέροις τῶν σχολαστικῶν, πειρώμενος αὐτῶν « τῆς σοφίας. Ὡς δὲ πολλοῖς τῶν ἐν παιδείᾳ συνῳ« κείωτο, παρεδίδου τι μᾶλλον ὧν εἶχεν. » Ταῦτ' εἴρηκεν Ἀριστοτέλης παρὰ τῷ Κλεάρχῳ, καὶ προσέτι πολλὴν καὶ θαυμάσιον καρτερίαν τοῦ Ἰουδαίου ἀνδρὸς ἐν τῇ διαίτῃ καὶ σωφροσύνῃ διεξιών. Ἔνεστι δὲ τοῖς βουλομένοις ἐξ αὐτοῦ τὸ πλέον γνῶναι τοῦ βιβλίου· φυλάττομαι γὰρ ἐγὼ τὰ πλείω τῶν ἱκανῶν παρατίθεσθαι. Κλέαρχος μὲν οὖν ἐν παρεκβάσει ταῦτ' εἴρηκεν (τὸ γὰρ προκείμενον αὐτῷ ἦν ἕτερον), οὕτως ἡμῶν μνημονεύσας.

Eadem e Josepho Eusebius P. E. IX, 5, p. 409. Obiter rei meminit Clemens Alexandr. Strom. I, p. 130, 20 ed. Sylb. : Κλέαρχος ὁ περιπατητικὸς εἰδέναι φησί τινα Ἰουδαῖον, ὃς Ἀριστοτέλει συνεγένετο. Quod attinet Clearchi librum Περὶ ὕπνου, forma dialogica scriptum, in quo inter alia Aristotelem convenisse Judæum fingit, eum esse supposititium vel ab ipso Josepho fictum censuerunt Jonsius Scriptt. hist. phil. p. 98 et Meiners. Histor. doctrin. etc. I, p. 212. Argumenta tamen quæ prætulerunt justo carent momento, uti recte exponit Verraert. p. 72 sqq. Commentum istud de Judæis a Gymnosophistis oriundis tangit Bohlen. *Alt. Indien* I, p. 289.

## ΠΕΡΙ ΝΑΡΚΗΣ.

70.

Athenæus VII, p. 314, C : Θεόφραστος δ' ἐν τῷ Περὶ τῶν φωλευόντων διὰ τὸ ψῦχός φησι τὴν νάρκην κατὰ γῆς δύεσθαι. Ἐν δὲ τῷ Περὶ τῶν δακέτων καὶ βλητικῶν διαπέμπεσθαί φησι τὴν νάρκην τὴν ἀφ' αὑτῆς δύναμιν καὶ διὰ τῶν ξύλων καὶ διὰ τῶν τριοδόντων, ποιοῦσαν ναρκᾶν τοὺς ἐν χερσὶν ἔχοντας. Εἴρηκε δὲ τὴν αἰτίαν Κλέαρχος ὁ Σολεὺς ἐν τῷ Περὶ νάρκης. Ἅπερ μακρότερα ὄντα ἐπιλέλησμαι, ὑμᾶς δὲ ἐπὶ τὸ σύγγραμμα ἀναπέμπω.

## ΠΕΡΙ ΠΑΝΙΚΟΥ.

71.

Athenæus IX, p. 389, E, F : Κλέαρχος δὲ ἐν τῷ Περὶ τοῦ Πανικοῦ, « Οἱ στρουθοὶ (φησὶ) καὶ πέρδικες, ἔτι δὲ οἱ ἀλεκτρυόνες καὶ οἱ ὄρτυγες, προΐενται τὴν γονὴν οὐ μόνον ἰδόντες τὰς θηλείας, ἀλλὰ κἂν ἀκούσωσιν αὐτῶν τὴν φωνήν. Τούτου δὲ αἴτιον ἡ τῇ ψυχῇ γινομένη φαντασία περὶ τῶν πλησιασμῶν. Φανερώτατον δὲ γίνεται περὶ τὰς ὀχείας, ὅταν ἐξ ἐναντίας αὐτοῖς θῇς κάτοπτρον· προστρέχοντες γὰρ διὰ τὴν ἔμφασιν ἁλίσκονταί τε καὶ προΐενται τὸ σπέρμα, πλὴν τῶν ἀλεκτρυόνων· τούτοις δὲ ἡ τῆς ἐμφάσεως αἴσθησις εἰς μάχην προάγεται μόνον. » Ταῦτα μὲν ὁ Κλέαρχος.

## ΠΕΡΙ ΣΚΕΛΕΤΩΝ.

### E LIBRO SECUNDO.

72.

Athenæus IX, p. 399, B : Κλέαρχος δ' ἐν δευτέρῳ Περὶ σκελετῶν οὕτως φησί· « Σάρκες μυωταὶ καθ' ἑκάτερον μέρος (μηρὸν?), ἃς οἱ μὲν ψύας, οἱ δὲ ἀλώπεκας, οἱ δὲ νεφρομήτρας καλοῦσι. »

Pollux II, 185 : Οἱ δὲ ἔνδοθεν κατὰ τὴν ὀσφὺν μῦες καλοῦνται ψόαι καὶ νευρομῆτραι (l. νεφρομ.) καὶ ἀλώπεκες. Ὁ δὲ Κλέαρχος τοὺς ἔξωθεν κατὰ τῆς ῥάχεως μῦς οὕτως ὀνομάζει. Eadem habet Rufus Ephesius in libello De appellatione partium corporis humani, nisi quod pro Clearcho perperam laudat

---

ciens. Atque, ut cum plurimis doctrina præstantibus familiariter vixerat, plus aliquanto quam acciperet nobiscum ille communicabat. » Hæc dixit Aristoteles apud Clearchum, et super hæc multam ac mirabilem Judæi viri in victu continentiam et castimoniam narrat. Licet autem volentibus plus ex ipso libro cognoscere : mihi enim cautum est ne plura quam sufficiat adjiciam. Et Clearchus quidem ex digressione ista dixit (aliud enim ipsi propositum erat), nostri generis ad hunc modum mentione facta.

## DE TORPEDINE.

70.

Theophrastus, in libro De latitantibus, torpedinem ait hieme ob frigus terram subire. In libro vero De animantibus quæ morsu et ictu lædunt, vim suam emittere ait torpedinem etiam per fustes et furcas, torpere facientem hos qui in manibus tale quid tenent. Cujus rei causam explicavit Clearchus Solensis in libro De torpedine; sed verba ejus quum prolixiora sint, memoria non teneo; quare ad ipsum librum vos remitto.

## DE PANICO.

71.

Clearchus in libro de Panico scribit : « Passeres et perdices, item galli gallinacei et coturnices, semen emittunt, non modo quum vident feminas, sed et voce tantum earum audita. Cujus rei causa est impressa in animo veneris et coitus imaginatio. Fit hoc manifestissimum, si pruritus tempore ex adverso masculi speculum posueris. Accurrunt enim specie decepti, et capi se sinunt, semenque emittunt, exceptis tamen gallis. Hi enim imaginis aspectu non nisi ad pugnam excitantur. » Hactenus Clearchus.

## DE SCELETIS.

72.

Clearchus, secundo libro De sceletis, ait : « Carnes musculosæ ab utraque parte; quas nonnulli lumbos, alii vulpes, alii nervorum matres appellant. »

Interiores circa lumbum musculi vocantur psoæ et nervorum matres et vulpes. Clearchus autem exteriores circa spinam musculos sic nominavit.

Clitarchum. Vide disputationem Casauboni ad Athenæum l. l.

Pollux II, 146 : Τῆς μὲν οὖν ὅλης χειρὸς ὀστᾶ ἓξ καὶ εἴκοσιν εἶναί φησιν ὁ Σολεὺς Κλέαρχος, εἷς τῶν Ἀριστοτέλους μαθητῶν.

Idem II, 164 : Μόνα δὲ ἐν στήθεσιν ἔχει μαστοὺς ἄνθρωπος καὶ νυκτερὶς καὶ ἐλέφας. Καὶ οὕτω μὲν ὁ Σολεύς. Accuratior Aristoteles H. An. II, 1.

Schol. Platon. p. 334 Bekk. : Λέγουσι δὲ λήκυθον... καὶ τὸ μεταξὺ τοῦ λευκανίου καὶ αὐχένος ἠχῶδες, ὥς φησι Κλέαρχος. Eadem Hesych., missa mentione Clearchi.

## ΠΕΡΙ ΤΩΝ ΕΝΥΔΡΩΝ.

### 73.

Athenæus VIII, p. 332, C : Οὐκ ἔλαθε δέ με οὐδὲ Κλέαρχος ὁ ἀπὸ τοῦ περιπάτου, ὃς εἴρηκε καὶ περὶ τοῦ ἐξωκοίτου καλουμένου ἰχθύος ἐν τῷ ἐπιγραφομένῳ Περὶ τῶν ἐνύδρων. Εἴρηκε γὰρ (κρατεῖν δ' οἶμαι καὶ τῆς λέξεως, οὕτως ἐχούσης)· « Ἐξώκοιτος ἰχθύς, ὃν ἔνιοι καλοῦσιν ἄδωνιν, τοὔνομα μὲν εἴληφε διὰ τὸ πολλάκις τὰς ἀναπαύσεις ἔξω τοῦ ὑγροῦ ποιεῖσθαι. Ἔστι δὲ ὑπόπυρρος, καὶ ἀπὸ τῶν βραγχίων ἑκατέρωθεν τοῦ σώματος μέχρι τῆς κέρκου μίαν ἔχει διηνεκῆ λευκὴν ῥάβδον. Ἔστι δὲ στρογγύλος, ἀλλ' οὐ πλατὺς ὤν, κατὰ τὸ μέγεθος ἴσος ἐστὶ τοῖς παραιγιαλίταις κεστρινίσκοις· οὗτοι δ' εἰσὶν ὀκταδάκτυλοι μάλιστα τὸ μῆκος. Τὸ δὲ σύνολον ὁμοιότατός ἐστι τῷ καλουμένῳ τράγῳ ἰχθυδίῳ, πλὴν τοῦ ὑπὸ τὸν στόμαχον μέλανος, ὃ καλοῦσι τοῦ τράγου πώγωνα. Ἔστι δὲ ὁ ἐξώκοιτος τῶν πετραίων, καὶ βιοτεύει περὶ τοὺς πετρώδεις τόπους. Καὶ ὅταν ᾖ γαλήνη, συνεξορούσας τῷ κύματι κεῖται ἐπὶ τῶν πετριδίων πολὺν χρόνον ἀναπαυόμενος ἐν τῷ ξηρῷ, καὶ μεταστρέφει μὲν ἑαυτὸν πρὸς τὸν ἥλιον· ὅταν δ' ἱκανῶς αὐτῷ τὰ πρὸς τὴν ἀνάπαυσιν ἔχῃ, προσκυλινδεῖται τῷ ὑγρῷ, μέχρι οὗ ἂν πάλιν ὑπολαβὸν αὐτὸν τὸ κῦμα κατενέγκῃ μετὰ τῆς ἀναρροίας εἰς τὴν θάλασσαν. Ὅταν δ' ἐγρηγορὼς ἐν τῷ ξηρῷ τύχῃ, φυλάττεται τῶν ὀρνίθων τοὺς παρευδιαστὰς καλουμένους, ὧν ἐστι κηρύλος, τροχίλος, καὶ ὁ τῇ κρεκὶ προσεμφερὴς ἐλώριος. Οὗτοι γάρ, ἐν ταῖς εὐδίαις παρὰ τὸ ξηρὸν νεμόμενοι, πολλάκις αὐτῷ περιπίπτουσιν. Οὓς ὅταν προΐδηται, φεύγει πηδῶν καὶ ἀσπαίρων, ἕως ἂν εἰς τὸ ὕδωρ ἀποκυβιστήσῃ. » Ἔτι ὁ αὐτὸς Κλέαρχος καὶ ταυτά φησι, σαφέστερον τοῦ Κυρηναίου Φιλοστεφάνου, οὗ πρότερον ἐμνήσθην· « Ἐπεί τινες τῶν ἰχθύων οὐκ ἔχοντες βρόγχον φθέγγονται. Τοιοῦτοι δ' εἰσὶν οἱ περὶ Κλείτορα τῆς Ἀρκαδίας, ἐν τῷ Λάδωνι καλουμένῳ ποταμῷ. Φθέγγονται γὰρ καὶ πολὺν ἦχον ἀποτελοῦσι. »

Athenæus VII, p. 317, ubi laudatur Κλ. ἐν τῷ Περὶ τῶν ἐν τῷ ὑγρῷ, v. supra. fr. 47.

## ΠΕΡΙ ΘΙΝΩΝ.

### 74.

Athenæus VIII, p. 345, E : Οὐκ ἀγνοῶ δὲ καὶ τοὺς ἰχθυοφάγους παῖδας, ὧν Κλέαρχος μνημονεύει ἐν τῷ Περὶ θινῶν, φάσκων Ψαμμίτιχον τὸν Αἰγυπτίων βασιλέα παῖδας θρέψαι ἰχθυοφάγους, τὰς πηγὰς τοῦ Νείλου βουλόμενον εὑρεῖν· καὶ ἄλλους δὲ ἀδίψους ἀσκῆσαι τοὺς ἐρευνησομένους τὰς ἐν Λιβύῃ ψάμμους, ὧν ὀλίγοι διεσώθησαν.

---

Totius manus ossa sunt viginti sex, teste Clearcho Solensi, Aristotelis discipulo.

Mammas in pectore solus habet homo, et vespertilio et elephas. Sic Solensis (Clearchus) tradit.

Lecythum dicunt etiam quod inter guttur et cervicem est sonumque edit (*gurgulionem*), teste Clearcho.

## DE AQUATILIBUS.

### 73.

Nec vero me latent quæ de exocœto, quem vocant, pisce Clearchus Peripateticus scripsit in libro qui De aquatilibus inscribitur. Ait igitur (nam ipsa verba meminisse mihi videor, sic habentia) : « Exocœtus piscis, quem adonin vocant nonnulli, inde nomen invenit, quod sæpius extra aquam quietem capit. Est autem subrufus, et a branchiis ab utraque corporis parte, usque ad caudam, unam continuam virgam habet albam. Est autem rotundus, sed, quum non latus sit, magnitudine par est litoralibus minutis mugilibus : quorum longitudo octo admodum digitorum est. Omnino vero simillimus est pisciculo quem tragum (i. e. hircum) vocamus, excepta nigra sub stomacho macula, quam tragi barbam vocant. Est autem exocœtus e saxatilium genere, vitamque degit in locis saxosis. Igitur quum tranquillum mare est, subsilit una cum fluctu, et in parvis cautibus diu jacet, requiescens in sicco, et soli se obvertens. Postquam satis quievit, provolvit se versus mare, donec eum alius excipiens fluctus, ubi reciprocatur, in mare rursus defert. Quum vero vigilat in sicco, cavet aves ejus generis, quæ pareudistæ vocantur (a. pareudiastæ, quæ tranquillo mari circa littora pascuntur), quales sunt cerylus, trochilus et creci similis helorius. Hæ enim, quum serenum cœlum et mare tranquillum est, in siccis circa mare locis cibum quærentes, sæpe eum invadunt. Quas ubi prospexit, fugit subsultans et palpitans, donec rursus in aquam præcipitem se dederit. »

Præterea idem Clearchus etiam hæc dicit, apertius quam Cyrenæus Philostephanus, quem ante nominavi. « Nam nonnulli ex piscibus (inquit), quamvis guttur non habeant, sonum edunt. Tales sunt qui circa Clitorem Arcadiæ in Ladone, qui vocatur, fluvio gignuntur. Nam et sonum edunt, et eum quidem validum admodum. »

## DE ARENOSIS DESERTIS.

### 74.

Nec me fugiunt illi piscibus vescentes pueri, quorum Clearchus meminit in libro De arenosis locis, ubi scribit, Psammitichum Ægyptiorum regem pueros aluisse vescentes piscibus, quum vellet Nili fontes investigare, aluisseque item alios sitim tolerare edoctos, qui arenosa Libyæ deserta pervestigarent, horum vero paucos evasisse incolumes.

## (ΠΕΡΙ ᾨΩΝ?)

74 a.

Photius et Suidas : Νεοττός, ἡ τοῦ ᾠοῦ λέκιθος.. Κλέαρχος ἐν τῷ Περὶ οἴνων (ᾠῶν corr. Toup.) συγγράμματί φησιν· « Ὠ (ᾠῷ correxit Toup.) διαδίδοται ἀρχὴ ὑπὸ τὸν ὑμένα τὸ λευκόν· ἐν τούτῳ γὰρ τὸ σπέρμα, καὶ οὐκ ἐν τῷ καλουμένῳ νεοττῷ· διεψεύσθησαν γὰρ οἱ πρῶτοι τοῦτο φήσαντες, καὶ ἔστι τὸ ὠχρὸν περίττωμα τοῦ σπέρματος.

Pro περὶ οἴνων Menagius ad Diog. L. I, 9 ex Athenæo reponi jussit Περὶ θινῶν, quod uti facillimum, sic tamen propter argumentum fragmenti admodum dubium. Toupius (Em. in Suid. II, 227) correxit περὶ ᾠῶν, idque etiam Athenæi loco restitui vult. Illud probo, hoc addubito.

## (ΤΑΚΤΙΚΗ.)

75.

Arrian. Tact. init. : Ὁ Πύρρου παῖς καὶ Κλέαρχος οὐχ ὁ τῶν μυρίων Ἑλλήνων ἐπὶ βασιλέα ἡγησάμενος, ἀλλὰ ἄλλος, οὗτος Κλέαρχος, sc. de arte tactica scripserunt. Ælian. Tact. init. : Πύρρος τε ὁ Ἠπειρώτης Τακτικὰ συνέγραψε καὶ Ἀλέξανδρος καὶ τούτου υἱὸς καὶ Κλέαρχος. — Quibus num noster aliusne Clearchus indicetur, non constat. At puto si notissimum nostrum Aristotelicum Arrianus intellexisset, eum verbo id indicaturum fuisse.

Glossas scripsisse Clearchum putari possit propter Athenæum XI, p. 486, A : Λοιβάσιον, κύλιξ, ὥς φησι Κλέαρχος καὶ Νίκανδρος ὁ Θυατειρηνός. Sed reponendum ibi Κλείταρχος, recte monet Verraert. p. 80, et ipse dixeram in fragm. Clitarchi histor. p. 74 not. Eodem modo mutandum Κλέαρχος ἐν ταῖς Γλώτταις in schol. Villois. ad Il. ψ, 81, etsi alibi id nomen opusque occurrit.

## EX OPERIBUS QUORUM TITULUS NON TRADITUR.

76.

Plutarchus De facie lunæ c. 2, p. 920, E : Οὕτως γὰρ ὑποδύεται περιιόντα τοῖς λαμπροῖς τὰ σκιερά, καὶ πιέζει πάλιν ὑπ' αὐτῶν καὶ ἀποκοπτόμενα· καὶ ὅλως πέπλεκται δι' ἀλλήλων· [ὥστε] γραφικὴν τὴν διατύπωσιν] εἶναι τοῦ σχήματος· [ὅθεν αὐτὸ τοῦτο] καὶ πρὸς Κλέαρχον, ὦ Ἀριστότελες, οὐκ ἀπιθάνως ἐδόκει λέγεσθαι τὸν ὑμέτερον· ὑμέτερος γὰρ ὁ ἀνήρ, Ἀριστοτέλους τοῦ παλαιοῦ γεγονὼς συνήθης, εἰ καὶ πολλὰ τοῦ Περιπάτου παρέτρεψεν.

Ὑπολαβόντος δὲ τοῦ Ἀπολλωνίδου τὸν λόγον, καί, τίς ἦν ἡ δόξα τοῦ Κλεάρχου, διαπυθομένου, Παντὶ μᾶλλον, ἔφην, ἀγνοεῖν, ἢ σοί, προσῆκόν ἐστι λόγον ὥσπερ ἀφ' ἑστίας τῆς γεωμετρίας ὁρμώμενον· λέγει γὰρ ἀνήρ, εἰκόνας ἐσοπτρικὰς εἶναι καὶ εἴδωλα τῆς μεγάλης θαλάσσης ἐμφαινόμενα τῇ σελήνῃ τὸ καλούμενον πρόσωπον· ἥ τε γὰρ ὄψις ἀνακλωμένη πολλαχόθεν ἅπτεσθαι τῶν οὐκ ατ' εὐθυωρίαν ὁρωμένων πέφυκεν, ἥ τε πανσέληνος αὐτὴ πάντων ἐσόπτρων ὁμαλότητι καὶ στιλπνότητι κάλλιστόν ἐστι καὶ καθαρώτατον. Ὥσπερ οὖν τὴν Ἶ[ριν] οἴεσθε ὑμεῖς ἀνακλωμένης ἐπὶ τὸν ἥλιον τῆς ὄψεως ἐνορᾶσθαι τῷ νέφει λαβόντι νοτερὰν ἠσυχῇ λειότητα καὶ [σύντη]ξιν, οὕτως ἐκεῖνος ἐνορᾶσθαι τῇ σελήνῃ τὴν ἔξω θάλασσαν, οὐκ ἐφ' ἧς ἐστι χώρας, ἀλλὰ ὅθεν ἡ κλάσις ἐποίησε τῇ ὄψει τὴν ἐπαφὴν αὐτῆς καὶ τὴν ἀνταύγειαν· ὥς που ὁ Ἀγησιάναξ εἴρηκεν·

Ἡ πόντου μέγα κῦμα κατ' ἀντία κυμαίνοντος
δείκελον ἰνδάλλοιτο πυριφλεγέθοντος ἐσόπτρου.

---

## DE OVIS.

74 a.

Clearchus in libro De ovis : « Album sub membrana est ovi principium : in hoc enim semen continetur, non autem in vitello. Decepti fuerunt qui primi hoc dixerunt. Lutum autem ovi est excrementum seminis. »

## (ARS TACTICA.)

75.

Pyrrhus Epirota et Alexander hujus filius, et Clearchus, non ille decem millium Græcorum dux, sed alius, de Arte tactica scripserunt.

---

76.

Omnino enim abduntur umbrosa circumfusis lucidis, vicissimque ea premunt abscissa : prorsusque inter se implicantur; ut fere conformatio exstet pictoria figuræ : quod et adversus Clearchum mi Aristoteles, videtur vestrum non inconvenienter vero dictum fuisse : vester enim est Clearchus, Aristotelis antiqui familiaris, quanquam multa Peripateticæ philosophiæ decreta pervertit.

Quum Apollonides orationem interrumpens quæreret, quænam Clearchi fuisset opinio : Nemo, inquam ego, omnium est, quem minus ignorare deceat, atque te, ejus sententiam, quasi e penatibus accitam a geometria. Dicit enim eam quæ vocatur facies, simulacra esse specularia et imagines magni maris in luna apparentes. Nam et orbis quum reflectitur, ex multis partibus attingere solet ea quæ per rectam lineam non videntur : et plena luna ipsa est omnium speculorum æquabilitate et splendore purissimum. Itaque sicut arcum cœlestem vos putatis visu ad solem refracto in nube conspici, cui humida sensim lævitas et colliquatio inest : ita ille existimavit mare externum in luna conspici, non eo, quo est situm, loco, sed quo visui radii refracti resplendentiam et tactum illius maris præbent; sicut rursum Agesianax scripsit :

Aut maris immensi opposita sub parte frementis
in speculo ardenti repræsentatur imago.

# LEO BYZANTIUS.

Suidas : Λέων, Λέοντος, Βυζάντιος, φιλόσοφος περιπατητικὸς καὶ σοφιστής, μαθητὴς Πλάτωνος, ἤ, ὥς τινες, Ἀριστοτέλους. Ἔγραψε τὰ κατὰ Φίλιππον καὶ τὸ Βυζάντιον βιβλίοις ζ', Τευθραντικόν, Περὶ Βησαίου, Τὸν ἱερὸν πόλεμον, Περὶ στάσεων, τὰ κατ' Ἀλέξανδρον. (Eadem Eudocia p. 283.)

Οὗτος ἦν σφόδρα παχύς· καὶ πρεσβεύσας πρὸς Ἀθηναίους γέλωτα ἐκίνησε, καὶ τῆς πρεσβείας ἐκράτησεν, ἐπειδὴ πίων ἐφαίνετο καὶ περιττὸς τὴν γαστέρα. Ταραχθεὶς δ' οὐδὲν ἀπὸ τοῦ γέλωτος, « Τί, ἔφη, ὦ Ἀθηναῖοι, γελᾶτε; ἢ ὅτι παχὺς ἐγὼ καὶ τοσοῦτος; Ἔστι μοι καὶ γυνὴ πολλῷ παχυτέρα, καὶ ὁμονοοῦντας μὲν ἡμᾶς χωρεῖ ἡ κλίνη, διαφερομένους δὲ οὐδ' ἡ οἰκία. » Καὶ εἰς ἓν ἦλθεν ὁ τῶν Ἀθηναίων δῆμος, ἁρμοσθεὶς ὑπὸ τοῦ Λέοντος, σοφῶς ἐπισχεδιάσαντος τῷ καιρῷ. Οὗτος ὁ Λέων ἀποκρουόμενος τὸν Φίλιππον ἀπὸ τοῦ Βυζαντίου διεβλήθη παρὰ Φιλίππου πρὸς τοὺς Βυζαντίους δι' ἐπιστολῆς ἐχούσης οὕτως· « Εἰ τοσαῦτα χρήματα παρεῖχον Λέοντι, ὁπόσα με ᾔτεῖτο, ἐκ πρώτης ἂν ἔλαβον τὸ Βυζάντιον. » Ταῦτα ἀκούσαντος τοῦ δήμου καὶ ἐπισυστάντος τῇ οἰκίᾳ τοῦ Λέοντος, φοβηθεὶς μή πως λιθόλευστος παρ' αὐτῶν γένηται, ἑαυτὸν ἦγξε, μηδὲν ἀπὸ τῆς σοφίας καὶ τῶν λόγων κερδάνας ὁ δείλαιος (*).

Idem : Λέων, Ἀλαβανδεύς, ῥήτωρ. Ἔγραψε Καρικῶν βιβλία δ', Λυκιακὰ ἐν βιβλίοις β', Τέχνην, Περὶ στάσεων, Τὸν ἱερὸν πόλεμον Φωκέων καὶ Βοιωτῶν (Θηβαίων cod. E). Eadem Eudocia p. 281.

Τευθραντικόν ] cod. Paris. A; τεθρανικόν V, τυθραντικόν V, τευθρανικόν reliqq. — Περὶ Βησαίου ] sic duo codd. Paris. AV; omisit et lacunam indicavit E; reliqui : Περὶ Βησάλου. « Sine dubio corruptum. Meursius Gloss. Gr.-barb. v. Βήσαλον, scr. Περὶ βησάλων, insigni errore, a quo nec Ducangius cavit in Gloss. med. et inf. Gr., quasi βήσαλον, ortum a latino *bessalis*, ea lateris cocti significatione Græcis quo tempore vixit Leo Byz. fuisset notum. » HEMSTERHUSIUS. « Suspicor latitare nomen regis Βηρισάδου. » BERNHARDYUS. Perbene; certe optime hoc argumentum cadit in auctorem Byzantium (Vide de Berisade illo Ponti rege Athenæum VIII, p. 349, D; Demosthenem p. 624; Dinarchum p. 95, 36. In numis et inscriptionibus nomen est Παιρισάδης. V. Bœckh. C. I. II, p. 92.) Licet tamen tueri lectionem π. Βησαίου; intelligi potest scriptum De oraculo Besæ, deæ Ægyptiæ (de quo vide Vales. ad Ammian. Marcellin. XIX, 12), quæ in Besa urbe (postea Antinoopoli appellata est) colebatur. — Περὶ στάσεων ] om. E. — οὗτος ἦν... καιρῷ ] Fluxerunt hæc e Philostrat. Vit. Sophist. I, 2, p. 485. — Καὶ τῆς πρεσβείας ἐκράτησεν ] « Hæc Philostratus ignorat, quæ sub finem narrationis oportuit collocari. » BERNHARDY. — Ἀποκρουόμενος κτλ. ] Historiam uberius narrat Hesychius Milesius De Constantin. Orig. § 26, p. 49 sq. Cf. Stephan. Byz. v. Βόσπορος, Eustathius ad Dionys. Per. 140 extr.

Jam si sub examen vocaveris Suidiana hæc, facile intellexeris misceri incongrua. Primum enim patet Leontem Byzantiorum demagogum et sophistam, qui anno 340 a. C. vitam suspendio finivit, diversum esse ab eo qui res Philippi et Alexandri literis tradidit. Ad demagogum illum pertinet Plato magister, uti patet e Philostrato Vit. Soph. I, 2, p. 485 (ex quo hausisse Suidas putandus est), qui juvenem Leontem audiisse Platonem refert. Idem ex Plutarchi Phocion. c. 14 patet, ubi : Λέων (sic scrib. pro vg. Κλέων) ἀνὴρ Βυζαντίων πρῶτος ἀρετῇ καὶ τῷ Φωκίωνι γεγονὼς ἐν Ἀκαδημείᾳ συνήθης. Idemque haud dubie est cum Leonte Academico philosopho, cui Alcyonem dialogum Platonicum vindicabant Nicias apud Athenæum XI, p. 503, C, et Favorinus apud Diogenem L. III, 62. Quod deinde Aristotelem attinet, non potuit is Leontis demagogi magister esse. Igitur verba περιπατητικὸς et μαθητὴς Ἀριστοτέλους simplicissime referuntur ad historicum nostrum, qui item fuerit Byzantius. (Frequens enim apud Byzantios nomen Leontis.) De vita ejus nihil traditum accepimus. Fortasse est Leon Melantæ et Pancreontis pater, cujus in testamento Theophrastæ mentio fit (Diog. L. V, 51).

Ex operibus, quæ apud Suidam memorantur, libri septem *De bello quod Philippus contra Byzantios gessit*, libri *De bello sacro sive Phocico*,

(*) Cf. Plutarch. Mor. p. 804, C : Ὁ Βυζάντιος Λέων ἧκε δή ποτε τοῖς Ἀθηναίοις στασιάζουσι διαλεξόμενος· ὀφθεὶς δὲ μικρὸς καὶ γελασθείς, Τί δή, εἶπεν, εἰ τὴν γυναῖκά μου θεάσαισθε μόλις ἐξικνουμένην πρὸς τὸ γόνυ; Πλείων οὖν ἐγένετο γέλως· Ἀλλ' ἡμᾶς, ἔφη, μικροὺς οὕτως ὄντας, ὅταν διαφερώμεθα πρὸς ἀλλήλους ἡ Βυζαντίων πόλις οὐ χωρεῖ.

Idem p. 633, C : Λέων ὁ Βυζάντιος, εἰπόντος Πασιάδου πρὸς αὐτόν, ὀφθαλμιασθῆναι δι' αὐτοῦ τοὺς ὀφθαλμούς, Ἀσθένειαν, ἔφη, σώματος ὀνειδίζεις, νέμεσιν οὐχ ὁρῶν ἐπὶ τῶν ὤμων βαστάζοντά σου τὸν υἱόν· εἶχε δὲ κυρτὸν ὁ Πασιάδης υἱόν. [Ἀνθρώπινον, ἔφη, πάθος ὀνειδίζεις, ἐπὶ τοῦ νώτου φέρων τὴν νέμεσιν, Idem p. 88, F.]

Idem Vit. Niciæ c. 22 : Ὁ Βυζάντιος Λέων εἶπε πρὸς τοὺς ἑαυτοῦ πολίτας· « Βούλομαι γὰρ μᾶλλον ὑφ' ὑμῶν ἢ μεθ' ὑμῶν ἀποθανεῖν. »

et *De rebus Alexandri*, uti argumentis inter se juncti sunt, sic eidem omnes auctori deberi non dubito. Contra liber Περὶ στάσεων sive *De statibus* (*De rebellionibus* verterat Vossius, probante Eberto) vindicandus est Leonti Alabandensi, Τέχνης ῥητορικῆς auctori, inter cujus opera ab ipso etiam Suida commemoratur. Τευθραντικός sive *Declamatio de Teuthrante Mysiæ rege*, et liber Περὶ Βησαίου vel Βησάλου, num recte Aristotelico Leonti adscribatur, non ausim dijudicare. Quodsi cum Bernhardyo scribendum putaveris Περὶ Βηρισάδου, ea scriptio in Byzantinum hominem cadit optime; sin Alabandensi, Caricorum auctori, assignanda est, conjeceris titulum fuisse Περὶ Μαυσώλου; si denique lectio Περὶ Βησαίου probanda deque Besæ Ægyptiæ oraculo intelligenda est, quæritur an non referendus liber sit ad *Leontem Pellæum*, quem de mythologumenis Ægyptiorum scripsisse novimus. — Præterea Plutarchus De fluv. c. 2 et 24 meminit *Leonis Byzantii* ἐν τοῖς Βοιωτιακοῖς, et ἐν γ' Περὶ ποταμῶν. Ac nescio an apud eundem Plutarchum l. l. c. 11 pro ἱστορεῖ Ἰάσων ἐν τοῖς Θρακικοῖς reponendum sit Ι. ΛΕΩΝ. Ceterum Bœotica illa et Thracica nonnisi partes operis Περὶ ποταμῶν, in quo fluvii secundum terras distributi, fuisse puto. Ne cum Westermanno (ad Voss. Hist. p. 70) putem ea, quæ e Βοιωτικοῖς Plutarchus affert, ex belli Phocici historia repetita esse, vel argumento fragmenti prohibeor. Probabile vero est Leontem illum Pseudo-Plutarchi aut serioris ævi hominem esse, aut nomen Aristotelici nostri fuisse mentitum. — Memoratur denique ap. schol. Apoll. Rhod. II, 297 Leon nescio cujas ἐν Περίπλῳ. At vereor ne corruptum scholium sit. Pro οὗ μνημονεύει καὶ Λέων ἐν Περίπλῳ καὶ Δημοσθένης (l. Τιμοσθένης) ἐν τοῖς Λιμέσιν, reponendum est, ni fallor : οὗ μν. Κλέων ἐν τῷ περὶ λιμένων καὶ Τιμ. etc. Similiter Κλέων pro Λέων legitur ap. Plutarch. Phocion. c. 14, ut modo monui.

Fragmenta Leontis Aristotelici habemus nulla, præter unum locum Athenæi; quamquam ne hic quidem dubitationi locum non relinquit.

## [ΤΑ ΚΑΤΑ ΦΙΛΙΠΠΟΝ ΚΑΙ ΒΥΖΑΝΤΙΟΝ.]

(1.)

Athenæus XII, p. 550, F : Καὶ Πύθων δ' ὁ Βυζάντιος ῥήτωρ, ὥς Λέων ἱστορεῖ ὁ πολίτης αὐτοῦ, πάνυ ἦν παχὺς τὸ σῶμα· καὶ Βυζαντίοις ποτὲ στασιάζουσι πρὸς ἀλλήλους τοῖς πολίταις παρακαλῶν εἰς φιλίαν ἔλεγεν, « Ὁρᾶτέ με, ἄνδρες πολῖται, οἷός εἰμι τὸ σῶμα· ἀλλὰ καὶ γυναῖκα ἔχω πολλῷ ἐμοῦ παχυτέραν. Ὅταν οὖν ὁμονοῶμεν, καὶ τὸ τυχὸν ἡμᾶς σκιμπόδιον δέχεται· ἐὰν δὲ στασιάσωμεν, οὐδὲ ἡ σύμπασα οἰκία. »

Igitur de Pythone h. l. narrantur, quæ Suidas et Plutarchus de Leonte tradunt, eo tantum differentes, quod nostro loco Byzantii, apud illos vero Athenis res gesta dicatur. « Sed, opinor, corrigendus Athenæus et scribendum Πύθων δὲ ὁ Β. ῥήτωρ ἱστορεῖ ὡς Λέων ὁ πολίτης αὐτοῦ. » Toup. ad Suidam l. l. Addit Bernhardyus : « Haud frustra Toupius contendit Athenæum esse mendosum. Nimirum Pythonem Byzantium constat legationem ad Athenienses obiisse (v. Fabric. in Sext. Empir. p. 297; cf. Westermann. *Gesch. d. gr. Bereds.* § 62,12) clarissimam, eamque perturbandis duorum Byzantiorum facundia potentium negotiis satis opportunam; Leontis industriam in domesticis rebus suorum civium unice positam fuisse videmus. Præterea quæ desipientis foret argumentatio, ut publicus orator risum componeret Atheniensium allata conjugii mentione vel maxime ridicula, eam apparet vel peridoneam exstitisse, si quidem Leonti discordiæ civiles essent componendæ. Cujus rei indicium, ut Athenæum mittam, habet Philostratus, loco illud non suo propositum : καὶ πρεσβεύων δὲ παρ' Ἀθηναίοις οὗτος, ἐστασίαζε μὲν πολὺν ἤδη χρόνον ἡ πόλις καὶ παρὰ τὰ ἤθη ἐπολιτεύετο : atque tum intemperantiæ crimine Byzantios flagrasse haud pauci scriptores testantur (V. Meinek. in Menandr. p. 26 sq.), quorum unus Athenæus p. 442, C sive Ælian. V. H. III, 14, quem nominavit *Leonidem* imperatorem, eum nihil suspicor ab Leonte nostro discrepare. Hunc item decet et dictum a Plutarcho (Nic. c. 22) proditum et eventus mortis ab ipso sponte susceptus. De Athenæo tamen non libet definire, quum et errorem ille potuerit rerum similitudine commisisse et correctio præsto sit haud violenta, quam epitomes scriptura commendat : καὶ Πύθων δ' ὁ Β. ῥήτωρ, ἢ, ὡς ἱστορεῖται, Λέων ὁ πολίτης αὐτοῦ. Omnibus igitur perpensis saltem obtinebimus Atheniensium nomen ab Leontis memoria prorsus esse removendum. »

Ego propono : Πύθων ὁ Βυζάντιος ῥήτωρ ἢ Λέων, ὡς Λέων ἱστορεῖ ὁ πολίτης αὐτοῦ. Facillime alterum

---

(DE PHILIPPI CONTRA BYZANTIOS BELLO.)

1.

Fuit etiam Python Byzantius orator (*vel potius Leon*), ut Leon civis ejus narrat, obeso admodum corpore, et orto aliquando inter Byzantios dissidio, ad concordiam hortans cives, dixit : « Videtis me, o cives, quali sim corpore : at uxorem habeo multo etiam crassiorem. Et tamen quum concordes sumus, quilibet nos lectulus capit; sin discordes, ne tota quidem domus. »

Λέων omitti potuit. Epitome habet: Λέων δ' ὁ Βυζάντιος παχὺς ὢν τὸ σῶμα τοῖς πολίταις ποτὲ στασιάζουσι πρὸς ἀλλήλους, π. ἑ. φ., ἔλεγεν κτλ. Ceterum suspicor istam Byzantinorum dissidentiam ad illud pertinere tempus, quo Atheniensium classis sub Phocione duce Byzantium venit. Jam antea Athenienses sub Charete classem miserant auxiliarem; at non receperant eam Byzantii diffidentes (Plutarch. Phocion. 14). Similis diffidentia animos occupaverit civium, quum deinde Phocion advenit, quem altera pars, puto, in urbem recipiendum, altera vero contra putabat, donec sententia Leonis, qui probitatem Phocionis noverat, pervicit. (Λέων, ἀνὴρ Βυζαντίων πρῶτος ἀρετῇ καὶ τῷ Φωκίωνι γεγονὼς ἐν Ἀκαδημίᾳ συνήθης, ἀνεδέξατο τὴν πίστιν ὑπὲρ αὐτοῦ πρὸς τὴν πόλιν. Plutarch. l. l.) Hæc igitur Byzantiorum seditio, cujus causa Athenienses fuerunt, deinde in Atheniensium seditionem apud alios auctores abiisse videtur. Quo facto, in promptu erat Leonti substituere Pythonem. Ceterum admodum probabilis est Bernhardyi sententia, ex qua Leon ille idem est qui alio Athenæi loco *Leonidas* appellatur. Eo vero loco auctorem Athenæus laudat Damonis opus Περὶ Βυζαντίου; quod quum alias nusquam memoratum videam, nescio an ΔΑΜΩΝ corruptum sit ex ΛΕΩΝ.

## ΒΟΙΩΤΙΑΚΑ.

2.

Plutarch. De fluv. 2, 2.: Παράκειται δ' αὐτῷ (τῷ Ἰσμηνῷ) Κιθαιρὼν ὄρος, ὀνομαζόμενον δὲ πρότερον Ἀστέριον, δι' αἰτίαν τοιαύτην. Βοιωτοῦ τοῦ Ποσειδῶνος ἐκ δυοῖν γυναικῶν τῶν ἐπισήμων θέλοντος γῆμαι τὴν ὠφελιμωτέραν, καὶ ἐν ταῖς ἀκρωρείαις λόφου τινὸς ἀνωνύμου νυκτὸς περιμένοντος ἀμφοτέρας, αἰφνίδιος ἐξ οὐρανοῦ κατενεχθεὶς ἀστὴρ ἔπεσε τοῖς Εὐρυθεμίστης ὤμοις, καὶ ἀφανὴς ἐγίνετο. Βοιωτὸς δὲ τὸ σημαινόμενον νοήσας, τὴν μὲν κόρην ἔγημε, τὸ δ' ὄρος ὠνόμασεν Ἀστέριον ἀπὸ τοῦ συγκυρήματος. Ὕστερον δ' ἐκλήθη Κιθαιρὼν δι' αἰτίαν τοιαύτην. Τισιφόνη μία τῶν Ἐριννύων, εἰς ἐπιθυμίαν ἐμπεσοῦσα παιδὸς εὐπρεποῦς, Κιθαιρῶνος τοὔνομα, καὶ μὴ στέγουσα τὴν ἐπίτασιν τῶν ἐρώτων, λόγους αὐτῷ περὶ συνόδων ἀπέστειλεν· ὁ δὲ τὸ καταπληκτικὸν τῆς προειρημένης φοβηθεὶς, οὐδ' ἀποκρίσεως αὐτὴν ἠξίωσεν· ἡ δ' ἀποτυχοῦσα τῆς προαιρέσεως, ἐκ τῶν πλοκάμων ἕνα τῶν δρακόντων ἀπέσπασεν, καὶ ἐπὶ τὸν ὑπερήφανον ἔβαλεν· ὁ δ' ὄφις τοῖς κόλποις περισφίγξας αὐτὸν ἀνεῖλεν, Ἀστερίου ποιμαίνοντος ἐν ταῖς ἀκρωρείαις. Κατὰ δὲ πρόνοιαν θεῶν, τὸ ὄρος ἀπ' αὐτοῦ μετωνομάσθη Κιθαιρὼν, καθὸ ἱστορεῖ Λέων ὁ Βυζάντιος ἐν τοῖς Βοιωτιακοῖς.

Bœotiaca hæc Leontis cujusdam Byzantini non peculiare opus sed caput fuerint operis De fluviis quod eodem modo quo Plutarcheum fuerit adornatum. Idque de aliis similibus titulis sæpenumero valere mihi persuasum est. — Apud eundem Plutarchum (De fluv. 11, 2) leguntur hæc: Γεννᾶται δ' ἐν αὐτῷ (τῷ Στρυμόνι) λίθος Παυσίλυπος καλούμενος· ὃν ἐὰν εὕρῃ τις πενθῶν, παύεται παραχρῆμα τῆς κατεχούσης αὐτὸν συμφορᾶς, καθὼς ἱστορεῖ Ἰάσων ὁ Βυζάντιος ἐν τοῖς Θρᾳκικοῖς (vgo Τραγικοῖς, emend. Jonsius H. phil. III, 2, 2). Iason aliunde non notus. Num scribendum ἱστορεῖ ΛΕΩΝ?

## ΠΕΡΙ ΠΟΤΑΜΩΝ.

## E LIBRO TERTIO.

3.

Plutarch. De fluv. 24, 2, de Tigri fl.: Γεννᾶται δ' ἐν αὐτῷ λίθος, Μυνδὰν καλούμενος, πάνυ λευκός· ὃν ἐὰν κατέχῃ τις, οὐδὲν ὑπὸ θηρίων ἀδικεῖται· καθὼς ἱστορεῖ Λέων ὁ Βυζάντιος ἐν γ' Περὶ ποταμῶν.

---

4.

## (ΠΕΡΙΠΛΟΥΣ.)

Schol. Apoll. Rh. II, 297: Ἔστι γὰρ καὶ Αἶνος ὄρος τῆς Κεφαλληνίας, ὅπου Αἰνησίου (scrib. Αἰνηΐου

---

## BŒOTICA.

2.

Adjacet Ismeno Cithæron mons, prius Asterius ideo vocatus, quod, quum Bœotus Neptuni filius ex duabus nobilibus mulieribus eam, quæ sibi utilior videbatur, ducere vellet, et in cacumine collis cujusdam innominati nocte utramque exspectaret, derepente stella de cœlo delata cecidit in humeros Eurythemistes et evanuit statim. Quod signum reputans secum Bœotus hanc puellam uxorem duxit et montem Asterium ab illo casu denominavit, quem postremo Cithæronem vocarunt ob hanc causam. Quum Tisiphone, Furiarum una, Cithæronis pulcherrimi pueri amore correpta esset, et eum occultare nullo modo posset, illius congressum ausa est petere. At Cithæron Furiæ horrorem exosus, ne dignatus est quidem ei responsum dare: unde vana spe delusa e crinibus serpentum unum avulsit, et in superbum juvenem projecit, quem serpens nexibus suis constringens interemit in Asterii montis cacuminibus greges tunc temporis pascentem. Diis autem ita volentibus, mons ille ab eo vocatus est Cithæron, ut auctor est Leo Byzantius in libris Rerum Bœoticarum.

## DE FLUVIIS.

## E LIBRO TERTIO.

3.

Nascitur in Tigride lapis, Myndan nomine, albo prorsus colore, quem qui tenet, is a bestiis nihil læditur, sicuti narrat Leon Byzantius libro tertio De fluminibus.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

SAVE $3,999,994

Did you know we sell paperback books too?

To buy our entire catalog in paperback would cost over $4,000,000

Access it all now for $8.99/month

*Fair usage policy applies

Continue

*non a poetis, sed mysticis eorum literis memoriæ mandata sint, sicut Leone sacerdote prodente ad Olympiadem scribit Alexander, legant qui volunt.* Cf. etiam Idem De cons. Evang. I, 23.

5.

Arnobius IV, 29 : *Possumus quidem hoc in loco omnes istos, nobis quos inducitis atque appellatis deos, homines fuisse monstrare, vel Agrigentino Euhemero replicato... vel Nicagora Cyprio vel Pellæo Leone vel Cyrenensi Theodoro vel Hippone ac Diagora Meliis vel auctoribus aliis mille.*

Pro *Nicagora* nonnulli exhibent *Nicanore*, atque ita etiam Clem. Al. Pr. 2, p. 7, 12, qui ex Arnobio sua petiverit. Hunc Nicanorem Lobeck. Aglaopham. p. 1000 eundem esse censet cum eo, qui ap. schol. Apollon. (fr. 1) memoratur. Quod mihi non persuasit. Nam *Nicogaras* veram nominis formam jam inde colligas, quod nomina in αγόρας desinentia apud Cyprios sunt frequentissima. Deinde vero *Nicagoram* de Cypri loco laudat Antigon. Mir. 173 (157 Westerm.) : Περὶ δὲ τῆς ἐν Κιτίῳ (λίμνης Καλλίμαχός) φησιν, Νικαγόραν (εἰπεῖν), ὅτι ἀνιμηθείσης ἐπ' ὀλίγον τῆς γῆς ἅλες εὑρίσκονται. Cf. Plin. 31, 7. Ex quo loco apparet Nicagoram scripsisse ante Callimachum; neque tamen multo antiquior Callimacho fuerit. Adde Fulgent. Myth. II, 8 de Prometheo : *Quamvis Nicagoras in Disthemithea libro quem scripsit primum illum* (Prometheum) *formasse idolum referat* etc., ubi Voss. Hist. p. 474 scrib. conjicit in διαμ. Προμηθέως *libro*. Fortasse erat in Περὶ τῆς Ἡμιθέας *libro*. — Schol. Apoll. Rh. II, 269 : Νικαγόρας δὲ φησὶν ἀπὸ τῶν ἀντοίκων αὐτὸν (τὸν Νεῖλον) ῥεῖν. Is num idem N. sit an alius nesclo. Alius est Nicagoras Atheniensis sophista, qui sub Philippo Romanorum imperatore floruit. V. Suidas v. Νικαγόρας; Voss. Hist. Gr. p. 287. Nicagoram Zeliten, Alexandri æqualem, memorat Clemens Al. Protr. c. 4, p. 16 Sylb. : Τί δεῖ καὶ Νικαγόρου μεμνῆσθαι. — Ζελείτης τὸ γένος ἦν κατὰ τοὺς Ἀλεξάνδρου γεγονὼς χρόνους. — Ἑρμῆς προσηγορεύετο ὁ Νικαγόρας καὶ τῇ στολῇ τοῦ Ἑρμοῦ ἐκέχρητο, ὡς αὐτὸς μαρτυρεῖ.

6.

Hyginus Poet. astron. II, 20 : *De Hammonis simulacro Leon, qui res Ægyptias conscripsit, ait : Quum Liber Ægyptum et reliquos fines regno teneret, et omnia primus hominibus ostendisse diceretur, Hammonem quendam ex Africa venisse et pecoris multitudinem ad Liberum adduxisse, quo facilius et ejus gratia uteretur et aliquid primus invenisse diceretur. Itaque pro beneficio ejus Liber existimatur agrum dedisse, qui est contra Thebas Ægyptias; et qui simulacra faciunt Hammonis, capite cornuto instituunt, ut homines memoria teneant, eum primum pecus ostendisse. Qui autem Libero factum voluerunt assignare, quod non petierit ab Hammone, sed ultro sit ad eum adductus, Liberi cornuta simulacra fecerunt et arietem memoriæ causa inter sidera fixum dixerunt.*

# CLYTUS MILESIUS.

## ΠΕΡΙ ΜΙΛΗΤΟΥ.

### E LIBBO PRIMO.

Athenæus XIV, p. 655, B : Κλύτος ὁ Μιλήσιος, Ἀριστοτέλους δὲ μαθητής, ἐν τῷ πρώτῳ Περὶ Μιλήτου γράφει περὶ αὐτῶν οὕτως· « Περὶ δὲ τὸ ἱερὸν τῆς Παρθένου ἐν Λέρῳ εἰσὶν οἱ καλούμενοι ὄρνιθες μελεαγρίδες. Ὁ δὲ τόπος ἐστὶν ἑλώδης, ἐν ᾧ τρέφονται. Ἔστι δὲ ἄστοργον πρὸς τὰ ἔκγονα τὸ ὄρνεον καὶ ὀλιγωρεῖ τῶν νεωτέρων, ὥστε ἀνάγκη τοῖς ἱερεῦσιν ἐπιμελεῖσθαι αὐτῶν. Ἔχει δὲ τὸ μὲν μέγεθος ὄρνιθος γενναίου, τὴν δὲ κεφαλὴν μικρὰν πρὸς τὸ σῶμα, καὶ ταύτην ψιλήν, ἐπ' αὐτῆς δὲ λόφον σάρκινον, σκληρόν, στρογγύλον, ἐξέχοντα τῆς κεφαλῆς ὥσπερ πάτταλον, καὶ τὸ χρῶμα ξυλοειδῆ. Πρὸς δὲ ταῖς γνάθοις ἀπὸ τοῦ στόματος ἀρξαμένην ἀντὶ πώγωνος μακρὰν. σάρκα καὶ ἐρυθροτέραν τῶν ὀρνίθων. Τὴν δὲ τοῖς ὄρνισιν ἐπὶ τῷ ῥύγχει γινομένην, ἣν ἔνιοι πώγωνα καλοῦσιν, οὐκ ἔχει· διὸ καὶ ταύτῃ κολοβόν ἐστι. Ῥύγχος δὲ ὀξύτερον καὶ μεῖζον ἢ ὄρνις ἔχει. Τράχηλος μέλας, παχύτερος καὶ βραχύτερος τῶν ὀρνίθων. Τὸ δὲ σῶμα ἅπαν ποικίλον, μέλανος ὄντος τοῦ χρώματος ὅλου, πτίλοις λευκοῖς καὶ πυκνοῖς διειλημμένου [οὐ?] μείζοσι φακῶν. Οὗτοι δ' εἰσὶν ἐν ῥόμβοις οἱ κυκλίσκοι μέλασι τοῦ ὅλου χρώματος· διὸ καὶ ποικιλίαν τινὰ οἱ ῥόμβοι παρέχονται, τοῦ μὲν μέλανος ἔχοντος λευκότερον τὸ χρῶμα, τοῦ δὲ λευκοῦ πολὺ μελάντερον. Τὸ δὲ κατὰ τὰς πτέρυγας αὐταῖς πεποίκιλται λευκῷ πριονώδεσι σχήμασι [πυρώδεσι] καὶ παρ' ἄλληλα κειμένοις. Σκέλη δὲ ἄκεντρα, ὅμοια τοῖς ὀρνιθείοις. Παραπλήσιαι δ' εἰσὶν αἱ θήλειαι τοῖς ἄρρεσι· διὸ καὶ δυσδιάκριτόν ἐστι τὸ τῶν μελεαγρίδων γένος. » Τοσαῦτα καὶ ὁ περιπατητικὸς φιλόσοφος περὶ τῶν μελεαγρίδων ἱστόρησεν.

Leros insula a Milesiis erat incolis frequentata. Cf. Strabo XIV, p. 635. De avibus illis Dianæ sacris cf. Ælianus H. An. IV, 42, ubi inter alia : Ὅσοι δὲ ἄρα αἰδοῦνται τὸ θεῖον, καὶ εἰ μᾶλλον τὴν Ἄρτεμιν, οὐκ ἄν ποτε τῶνδε τῶν ὀρνίθων ἐπὶ τροφὴν προσάψαιντο· καὶ ἥτις ἡ αἰτία, ἴσασί τε οἱ τὴν νῆσον οἰκοῦντες τὴν Λέρον, καὶ ἔνεστι μαθεῖν ἀλλαχόθεν. Nicander libro tertio Metamorphoseôn ap. Antoninum Lib. c. 3 narrat : Αἱ δὲ ἀδελφαὶ αὐτοῦ (sc. Meleagri qui ira Dianæ perierat) παρὰ τὸ σῆμα ἐθρήνουν ἀδιαλείπτως, ἄχρις αὐτὰς Ἄρτεμις ἁψαμένη ῥάβδῳ μετεμόρφωσεν εἰς ὄρνιθας καὶ ἀπῴκισεν εἰς Λέρον τὴν νῆσον, ὀνομάσασα Μελεαγρίδας. Locus ubi templum Dianæ Virginis stetit, etiam nunc vocatur Παρθένοι. Vide Ross. *Reisen auf. d. gr. Inseln* II, p. 121 sq.

### E LIBRIS INCERTIS.

2.

Athenæus XII, p. 540, C : Κλύτος (Κλεῖτος edd. ante Schweigh.) δ' ὁ Ἀριστοτελικὸς ἐν τοῖς περὶ Μιλήτου Πολυκράτη φησὶ, τὸν Σαμίων τύραννον, ὑπὸ τρυφῆς τὰ πανταχόθεν συνάγειν· κύνας μὲν ἐξ Ἠπείρου, αἶγας δὲ ἐκ Σκύρου, ἐκ δὲ Μιλήτου πρόβατα, ὗς δὲ ἐκ Σικελίας. Eadem tradit Alexis libro tertio Samiorum Annalium apud Athen. l. l. De ovium et lanæ Milesiæ præstantia v. Strabo XII, p. 578; Plinius VIII, 48, 73; XXIX, 2, 9; Virgil. Georg. III, 306; IV, 334; Columella VII, 2, 3.

3.

Diogen. L. I, 25, de Thalete Milesio : Δοκεῖ δὲ καὶ ἐν τοῖς πολιτικοῖς ἄριστα βεβουλεῦσθαι. Κροίσου γοῦν πέμψαντος πρὸς Μιλησίους ἐπὶ συμμαχίᾳ, ἐκώλυσεν· ὅπερ, Κύρου κρατήσαντος, ἔσωσε τὴν πόλιν. Κλύτος (olim καὶ αὐτὸς) δέ φησιν, ὡς Ἡρακλείδης ἱστορεῖ, μονήρη αὐτὸν γεγονέναι καὶ ἰδιαστήν.

## DE MILETO.

1.

### E LIBRO PRIMO.

Clytus Milesius, Aristotelis discipulus, primo libro De Mileto de meleagridibus ita scribit : « Circa Dianæ Virginis templum, quod Leri est, aves sunt quæ meleagrides vocantur. Palustris locus est in quo aluntur. Pullos suos nullo amoris affectu prosequitur hæc avis, et teneros ita negligit, ut sacerdotes curam eorum gerere oporteat. Magnitudo ei est generosi galli gallinacei; caput pro corporis mole parvum, idemque glabrum; super capite vero habet cristam carneam, duram, rotundam, quæ ex capite eminet veluti clavus, colore ligneo. Ad maxillas, loco barbæ, habet oblongam carunculam, ab ore incipientem, rubentiorem quam in gallinaceis. Quam vero galli gallinacei rostro adhærentem habent, quam barbam nonnulli vocant, [latine palea vel mentum dicitur,] eam non habet, eaque parte mutila est. Rostrum vero acutius et majus habet, quam gallinaceus : collum nigrum, crassius et brevius gallinaceis : corpus vero totum variegatum, universo quidem colore rubro, sed eo frequentibus albis maculis distincto, [non] majoribus quam lentes. Insunt autem hi orbiculi in rhombis, qui magis nigri sunt quam color universus. Quare etiam ipsi rhombi varietatem aliquam efficiunt : quum id, quod in illis nigrum est, intra se contineat colorem candidiorem; id vero quod album, colorem multo nigriorem. »

2.

Clytus Aristotelicus in libris De Mileto Polycratem ait, Samiorum tyrannum, lusus studio quidquid esset ubique nobile et clarum coegisse, canes ex Epiro, capras e Scyro, Mileto oves, sues e Sicilia.

3.

Constat Thaletem etiam reipublicæ commodis optime consuluisse. Nam quum Milesios Crœsus ad societatem ineundam sollicitaret, obstitit ille : eaque res postea, Cyro victoria potito, salus civitatis fuit. Clytus vero asserit, ut tradit Heraclides, solitariam eum ac privatam vitam adamasse.

# MÆANDRIUS MILESIUS.

## (LEANDER MILESIUS).

Clyto Milesio alium subjungimus Milesium itemque rerum Milesiarum scriptorem, Mæandrium, ad quem si non omnia, certe longe plurima eorum, quæ in duodecim nostris fragmentis leguntur, referenda esse censeo. Librorum quidem auctoritatem si premamus, duo potius Milesii Μιλησιακῶν auctores, alter Mæandrius, alter Leandrius sive Leander, distinguendi forent; verum quum duo ista nomina ob similitudinem confundi facillime possent, deinde vero forma Λεάνδριος, quæ locis plurimis obtinet, tamquam nomen proprium nusquam, quatenus equidem scio, occurrat : verisimillimum sane est (*) fragmenta quæ de rebus Mileti aliisque Asiæ minoris regionibus ex Mæandrio vel Leandrio vel Leandro citantur, uni eidemque auctori esse vindicanda; nominum vero confusionem inde explicandam, quod Leandri nomen multo notius esset, et fortasse revera Leander quidam scriptor (cui vindicari possint fr. 10 et 11) a nostro Milesio dignoscendus sit. — Nomen Μαιάνδριος nosti ex Herodoto III, 123, 142 sqq., ubi de Mæandrio Polycratis Samii scriba sermo est; tum vero occurrit in numo Mileti ap. Mionnet. *Descr.* III, p. 164 n. 737, et in inscriptione Nysæa (C. I. n. 2943), et Teja (n. 2078), deinde autem in titulo Prienensium (n. 2905), ubi laudantur τὰ ἐν ταῖς συγγραφομέναις Μαιανδρίου τοῦ Μιλησίου ἱστορίαις καταχεχωρισμένα (v. fr. 7). Quæ ibi afferuntur, etsi non proxime ad Miletum spectant, apte tamen memorari potuerunt in Milesiorum historia, tot illa nominibus cum Samiorum et Prienensium rebus conjuncta. Præterea Macrobius (fr. 6) de Apollinis οὐλίου apud Milesios cultu laudat *Mæandrum* (sic). Strabo denique *Mæandrum* (fr. 9) citat de Henetis, Asiæ minoris populo, eorumque migrationibus. Quæ num e Milesiacorum loco, ubi de coloniis Milesiis ad Pontum sitis sermo erat, an ex alio opere geographico vel historico sint petita, dijudicari jam nequit. His addendus est locus Athenæi (fr. 12), ubi ex Clearcho, uti videtur, memoratur Μαιανδρίου τοῦ συγγραφέως liber Παράγγελμα inscriptus, cujus grammaticum argumentum fuerit. Reliquis locis omnibus nomen scriptoris est Λεάνδριος, rarius Λέανδρος. Opus de rebus Mileti expresse laudatur semel (fr. 1), aliis locis argumento fragmentorum indicatur (fr. 2 — 6). Fragmenta 10 et 11 ex alio opere, cujus titulum ignoramus, repetita sunt, si quidem omnino ad Milesium nostrum, neque ad Leandrum quendam pertinent. Ad Milesium refero quæ leguntur apud Clementem Alexandrinum Strom. VI, 2, p. 267, 2 Sylb., ubi inter eos qui Melesagoræ scripta expilaverint etiam *Leandrius* recensetur : Μελησαγόρου γὰρ ἔκλεψαν Γοργίας ὁ Λεοντῖνος καὶ Εὔδημος ὁ Νάξιος... Ἀμφίλοχός τε καὶ Ἀριστοκλῆς καὶ Λεάνδριος καὶ Ἑλλάνικος καὶ Ἀνδροτίων κτλ. — Quod ætatem scriptoris attinet, ex fragm. 3 patet eum Callimacho, quippe qui usus eo sit, vel æqualem vel antiquiorem fuisse. Sin recte conjeci Athenæum (fr. 12) sua hausisse ex Clearcho, Mæandrius ipso Clearcho antiquior vel suppar ætate esse debuit. Ne multo antiquiorem fuisse putemus, argumentum fragmenti 12, quo Peripateticorum industria indigitatur, videtur impedire. Ceterum hæc incerta sunt. Nihilo tamen certior est Meinekii conjectura, qui (uti disco ex Westermanni Βιογρ. p. 60) Mæandrium historicum nostrum reponendum putat in Vita Arati IV ap. Westerm., ubi hæc : Συνήκμασε δ' (sc. Ἄρατος) Ἀλεξάνδρῳ τῷ Αἰτωλῷ καὶ Καλλιμάχῳ καὶ Μενάνδρῳ (Μελαγκρίῳ cod. Matrit.) καὶ Φιλήτᾳ.

(*) Eandem sententiam esse Keilii in *Vindiciis onomatol.* p. 9 sq., approbante Westermanno, disco ex *Pauly's Realencycl.* v. *Mæandrius*.

### ΜΙΛΗΣΙΑΚΑ.

1.

### E LIBRO SECUNDO.

Schol. Aristoph. Pac. 363 ad verba οὐδὲν πονηρὸν, ἀλλ' ὅπερ καὶ Κιλλικῶν ] : Οὐκ οἶδ' ὅπως φησὶν οὐδὲν πονηρὸν ποιεῖν ταῦτα πράττειν εἶναι ὅπερ καὶ Κιλλικῶν· ὁ γάρ τοι Κιλλικῶν ἐπὶ πονηρίᾳ διαβόητός ἐστι. Φασὶ γὰρ αὐτὸν οἱ μὲν Σάμον ἢ Μίλητον προδοῦναι Πριηνεῦσι. Θεόπομπος (codd. Θεόφραστος) δὲ ἐν τῷ ιγ' τῶν Ἱστοριῶν τῶν ἑαυτοῦ Σύρον φησὶν

---

### E LIBRO SECUNDO.

1.

Nescio quomodo Aristophanes dicat *nihil mali facere* hoc esse *facere idem quod Cillicon fecit*. Nam Cillicon ob pravitatem infamis erat, quippe quem Samum vel Miletum prodidisse Prienensibus dicunt. Theopompus vero Historiarum suarum libro decimo tertio tradit eum Syrum insulam Samiis prodidisse. Quærentibus autem ex eo sæpius quibusdam, quidnam esset facturus, respondisse *omnia bona*. Igitur (apud Aristophanem Trygæus) *omnia bona facere* dicit eodem sensu quo Cillicon dixit. Ceterum Cilliconem

τῷ Διδυμαίῳ Ἀπόλλωνι ἀπέστειλεν, εἰπὼν οὕτω κατὰ τὸν Καλλίμαχον·

Θαλῆς με τῷ μεδεῦντι Νειλέω δήμου
δίδωσι, τοῦτο δὶς λαβὼν ἀριστεῖον.

36. Πέμπτον δὲ στρατιωτικόν, εἰς τοὺς πολέμους εὐθετοῦν, τῷ μὲν πλήθει δεύτερον, ἀνέσει δὲ καὶ παιδιᾷ πλείστῃ χρώμενον ἐν ταῖς εἰρήναις. Τρέφεται δ' ἐκ τοῦ βασιλικοῦ πᾶν τὸ πλῆθος τῶν στρατιωτῶν καὶ τῶν πολεμιστῶν ἵππων τε καὶ ἐλεφάντων.

37. Ἕκτον δ' ἐστὶ τὸ τῶν ἐφόρων· οὗτοι δὲ πολυπραγμονοῦντες πάντα καὶ ἐφορῶντες τὰ κατὰ τὴν Ἰνδικὴν ἀπαγγέλλουσι τοῖς βασιλεῦσιν, ἐὰν δὲ ἡ πόλις αὐτῶν ἀβασίλευτος ᾖ, τοῖς ἄρχουσιν.

38. Ἕβδομον δ' ἐστὶ μέρος τὸ βουλεῦον μὲν καὶ συνεδρεῦον τοῖς ὑπὲρ τῶν κοινῶν βουλευομένοις, πλήθει μὲν ἐλάχιστον, εὐγενείᾳ δὲ καὶ φρονήσει μάλιστα θαυμαζόμενον· ἐκ τούτων γὰρ οἵ τε σύμβουλοι τοῖς βασιλεῦσίν εἰσιν οἵ τε διοικηταὶ τῶν κοινῶν καὶ οἱ δικασταὶ τῶν ἀμφισβητουμένων, καὶ καθόλου τοὺς ἡγεμόνας καὶ τοὺς ἄρχοντας ἐκ τούτων ἔχουσι.

39. Τὰ μὲν οὖν μέρη τῆς διῃρημένης πολιτείας παρ' Ἰνδοῖς σχεδὸν ταῦτά ἐστιν. Οὐκ ἔξεστι δὲ γαμεῖν ἐξ ἄλλου γένους ἢ προαιρέσεις ἢ τέχνας μεταχειρίζεσθαι, οἷον στρατιώτην ὄντα γεωργεῖν ἢ τεχνίτην ὄντα φιλοσοφεῖν.

XLII. 40. Ἔχει δ' ἡ τῶν Ἰνδῶν χώρα πλείστους καὶ μεγίστους ἐλέφαντας, ἀλκῇ τε καὶ μεγέθει πολὺ διαφέροντας. Ὀχεύεται δὲ τοῦτο τὸ ζῷον οὐχ, ὥσπερ τινές φασιν, ἐξηλλαγμένως, ἀλλ' ὁμοίως ἵπποις καὶ τοῖς ἄλλοις τετραπόδοις ζῴοις· κύουσι δὲ τοὺς μὲν ἐλαχίστους μῆνας ἑκκαίδεκα, τοὺς δὲ πλείστους ὀκτωκαίδεκα. Τίκτουσι δὲ καθάπερ ἵπποι κατὰ τὸ πλεῖστον ἕν, καὶ τρέφουσι τὸ γεννηθὲν αἱ μητέρες ἐπ' ἔτη ἕξ. Ζῶσι δ' οἱ πλεῖστοι καθάπερ ὁ μακροβιώτατος ἄνθρωπος, οἱ δὲ μάλιστα γηράσαντες ἔτη διακόσια.

41. Εἰσὶ δὲ παρ' Ἰνδοῖς καὶ ἐπὶ τοὺς ξένους ἄρχοντες τεταγμένοι καὶ φροντίζοντες ὅπως μηδεὶς ξένος ἀδικῆται· τοῖς δ' ἀρρωστοῦσι τῶν ξένων ἰατροὺς εἰσάγουσι καὶ τὴν ἄλλην ἐπιμέλειαν ποιοῦνται, καὶ τελευτήσαντας θάπτουσιν, ἔτι δὲ τὰ καταλειφθέντα χρήματα τοῖς προσήκουσιν ἀποδιδόασιν. (42) Οἵ τε δικασταὶ τὰς κρίσεις παρ' αὐτοῖς ἀκριβῶς διαγινώσκουσι, καὶ πικρῶς τοῖς ἁμαρτάνουσι προσφέρονται. Περὶ μὲν οὖν τῆς Ἰνδικῆς καὶ τῶν κατ' αὐτὴν ἀρχαιολογουμένων ἀρκεσθησόμεθα τοῖς ῥηθεῖσι.

Ordo narrationis ejusmodi est, ut satis bene

---

Vectigalia de fundis regi pensitant. Omnis enim Indus sub clientela regis est, nec privato agros possidere licet. Ultra hoc tributum, quarta etiam pars fructuum regio ærario cedit.

34. Tertio ordine continentur armentarii et opiliones, adeoque omne genus pastorum, qui nec urbes nec pagos habitant, sed tabernaculis pro domibus utuntur. Hi venando simul terram a volucribus et feris tutam præstant, et hoc exercitio atque labore mansuetam et culturæ patientem faciunt Indiam, multis alioqui variisque bestiis et avibus, sementi infestis, refertam.

XLI. 35. Quartum locum artifices obtinent, quorum pars armis, pars instrumentis rusticis, aliisque utensilibus fabricandis vacat. Hi non solum immunitatem habent, sed certam quoque frumenti mensuram e regiis granariis accipiunt.

36. Quintum populi genus est castrense bellisque accommodatum, multitudine secundum : id pacis tempore otio et ludo prolixe indulget. Quidquid autem est militum equorumque bellicorum ac elephantum, ex regia nutritur.

37. Sexto loco sunt ephori, qui magno studio omnia per Indiam rimantur et inspiciunt, exploratarque regibus, aut, ubi res publica rege caret, principibus renuntiant.

38. Septimus ordo senatorius est, eorum scilicet, quibus in consilio publico consessus est. Hi numero quidem paucissimi, at nobilitate generis et prudentia maxime sunt conspicui. Ex his enim, qui consilio regibus adsint, et publica negotia administrent, et controversias dijudicent, quique imperia in bellis et magistratus passim obeant, deliguntur.

39. Has fere in partes Indorum respublica tributa est. Nec ex diversa tribu uxorem ducere, aut alienum vitæ genus artificiumve exercere, utpote militem simul bellare et agrum colere, aut opificem philosophari, fas est.

XLII. 40. Habet India plurimos maximosque elephantes, qui tam fortitudine quam robore excellunt. Coit hoc animal, non, ut quidam putant, modo peculiari et insolenti, sed ut equi ceteraque quadrupedia. Uterum gestant ut minimum per sedecim menses, ut plurimum per duodeviginti. Pariunt, ut equi, unicum plerumque, quod matres ad sex annos enutriunt. Major pars hominis maxime longævi vitam assequitur : quorum senectus longissima, hi ad annos ducentos perveniunt.

41. Constituti sunt etiam apud Indos advenarum præfecti, qui, ne quid illi injuria patiantur, accurate provident. Si quis illorum ægrotat, medicos adhibent ceteramque curam impendunt, et mortuum sepulturæ tradunt. Quidquid ab eo relictum est peculii, cognatis restituunt. (42) Judices illorum summa diligentia lites disceptant, et severe in nosios animadvertunt. Atque de India rebusque ejus priscis hæc sufficiant.

omnia præcedant, ipsiusque fuisse videatur Megasthenis; quare ad Diodori epitomen fragmentorum seriem accommodabimus. Hoc tantum mireris, qui fiat ut post recensitas tribus, abrupte Diodorus interponat elephantorum descriptionem. Rem docet Strabo, qui de tertia tribu loquens multa de elephantis eorumque venatione exponit. Diodorus, ne interrumperet brevem suam tribuum enumerationem, ea quæ de elephantis notare placuit, ad calcem hujus capitis relegavit.

## E LIBRO PRIMO.

### 2.

Arrianus Exp. Al. V, 6, 2 : Τῆς δὲ ὡς ἐπὶ νότον Ἀσίας τετραχῆ αὖ τεμνομένης μεγίστην μὲν μοῖραν τῶν Ἰνδῶν γῆν ποιεῖ Ἐρατοσθένης τε καὶ Μεγασθένης, ὃς ξυνῆν μὲν Σιβυρτίῳ τῷ σατράπῃ τῆς Ἀραχωσίας· πολλάκις δὲ λέγει ἀφικέσθαι παρὰ Σανδράκοττον τὸν Ἰνδῶν βασιλέα· ἐλαχίστην δὲ ὅσην ὁ Εὐφράτης ποταμὸς ἀπείργει ὡς πρὸς τὴν ἡμετέραν θάλασσαν· δύο δὲ αἱ μεταξὺ Εὐφράτου τε ποταμοῦ καὶ τοῦ Ἰνδοῦ ἀπειργόμεναι, αἱ δύο ξυντεθεῖσαι μόλις ἄξιαι τῇ Ἰνδῶν γῇ ξυμβαλεῖν· ἀπείργεσθαι δὲ τὴν Ἰνδῶν χώραν πρὸς μὲν ἕω τε καὶ ἀπηλιώτην ἄνεμον ἔστε ἐπὶ μεσημβρίαν τῇ μεγάλῃ θαλάσσῃ· τὸ πρὸς βορρᾶν δὲ αὐτῆς ἀπείργειν τὸν Καύκασον τὸ ὄρος ἔστε ἐπὶ τοῦ Ταύρου τὴν ξυμβολήν· τὴν δὲ πρὸς ἑσπέραν τε καὶ ἄνεμον Ἰάπυγα ἔστε ἐπὶ τὴν μεγάλην θάλασσαν, ὁ Ἰνδὸς ποταμὸς ἀποτέμνεται. Καί ἐστι πεδίον ἡ πολλὴ αὐτῆς· καὶ τοῦτο, ὡς εἰκάζουσιν, ἐκ τῶν ποταμῶν προσκεχωσμένον· εἶναι γὰρ οὖν καὶ τῆς ἄλλης χώρας ὅσα πεδία οὐ πρόσω θαλάσσης τὰ πολλὰ τῶν ποταμῶν παρ' ἑκάστοις ποιήματα, ὥστε καὶ τῆς χώρας τὴν ἐπωνυμίαν τοῖς ποταμοῖς ἐκ παλαιοῦ προσκεῖσθαι, καθάπερ Ἕρμου τέ τι πεδίον λέγεσθαι, ὃς κατὰ τὴν Ἀσίαν γῆν ἀνίσχων ἐξ ὄρους Μητρὸς Δινδυμήνης παρὰ πόλιν Σμύρναν Αἰολικὴν ἐκδιδοῖ ἐς θάλασσαν· καὶ ἄλλο Καΰστρου πεδίον Λυδίου ποταμοῦ, καὶ Καΐκου ἄλλο ἐν Μυσίᾳ, καὶ Μαιάνδρου τὸ Καρικὸν ἔστε ἐπὶ Μίλητον πόλιν Ἰωνικήν.... Εἰ δὴ οὖν εἷς τε ποταμὸς παρ' ἑκάστοις, καὶ οὐ μεγάλοι οὗτοι ποταμοί, ἱκανοὶ γῆν πολλὴν ποιῆσαι, ἐς θάλασσαν προχεόμενοι, ὁπότε ἰλὺν καταφέροιεν καὶ πηλὸν ἐκ τῶν ἄνω τόπων, ἔνθενπερ αὐτοῖς αἱ πηγαί εἰσιν, οὐδὲ ὑπὲρ τῆς Ἰνδῶν ἄρα χώρας ἐς ἀπιστίαν ἰέναι ἄξιον, ὅπως πεδίον τε ἡ πολλή ἐστι, καὶ ἐκ τῶν ποταμῶν τὸ πεδίον ἔχει προσκεχωσμένον. Ἕρμον μὲν γὰρ καὶ Κάϋστρον καὶ Κάϊκόν τε καὶ Μαίανδρον ἢ ὅσοι πολλοὶ ποταμοὶ τῆς Ἀσίας ἐς τήνδε τὴν ἐντὸς θάλασσαν ἐκδιδοῦσιν, οὐδὲ ξύμπαντας ξυντεθέντας ἑνὶ τῶν Ἰνδῶν ποταμῶν ἄξιον ξυμβαλεῖν πλήθους ἕνεκα τοῦ ὕδατος, μὴ ὅτι τῷ Γάγγῃ τῷ μεγίστῳ, ὅτῳ οὔτε Νείλου ὕδωρ τοῦ Αἰγυπτίου οὔτε ὁ Ἴστρος ὁ κατὰ τὴν Εὐρώπην ῥέων ἄξιοι ξυμβαλεῖν· ἀλλ' οὐδὲ τῷ Ἰνδῷ ποταμῷ ἐκεῖνοί γε πάντες ξυμμιχθέντες ἐς ἴσον ἔρχονται· ὃς μέγας τε εὐθὺς ἀπὸ τῶν πηγῶν ἀνίσχει, καὶ πεντεκαίδεκα ποταμοὺς πάντας τῶν Ἀσιανῶν μείζονας παραλαβὼν, καὶ τῇ ἐπωνυμίᾳ κρατήσας, οὕτως ἐκδιδοῖ ἐς θάλασσαν. Ταῦτά μοι ἐν τῷ παρόντι περὶ Ἰνδῶν τῆς χώρας λελέχθω· τὰ δὲ ἄλλα ἀποκείσθω ἐς τὴν Ἰνδικὴν ξυγγραφήν.

Arrianus in Indicis fines Indiæ describit cap. 2, 1—7, quæ item ex Megasthene petita sunt, siculi reliqua quæ usque ad cap. 17 leguntur tantum non omnia. — Σανδράκοττον] Varie nomen apud Græcos scriptores exaratur : Σανδράκοττος, Σανδρακόττας, Σανδρόκοττος, Ἀνδρόκοττος, Σανδρά-

## E LIBRO PRIMO.

### 2.

Asiæ quæ ad Austrum vergit, quæ et ipsa in quattuor partes scinditur, maximam partem esse statuit Indorum regionem Eratosthenes et Megasthenes : qui quidem quum apud Sibyrtium Arachosiorum satrapam degeret, frequenter se ad Sandracottum Indorum regem commeasse scribit : minimam vero, quam Euphrates intersecat, ad nostrum mare conversam : reliquas duas inter Euphratem et Indum positas, si conjungantur, vix dignas esse quæ Indorum regioni comparentur. Terminari autem Indiam, orientem et subsolanum versus, adusque meridiem, Oceano : a septemtrione vero, Caucaso monte, ad Tauri usque confinia : ab occidente et Iapyge vento, ad Oceanum usque, Indo amne distingui. Magnamque ejus partem planam et campestrem esse. Quæ quidem planities ( ut suspicantur ) ab ipsis fluminibus terram sua alluvione accumulantibus fit, quemadmodum reliqua campestria loca non procul a mari sita planitiem suam fluminum alluvionibus debent. Adeo ut regionum ipsarum appellationes fluminibus jam olim inditæ sint : quemadmodum Hermi campus dicitur qui amnis in Asia oriens ex monte matris Dindymenes, ad Smyrnam urbem Æolicam mare influit; item Caystri campus Lydius, a Lydio flumine, et Caici alius in Mysia, et Mæandri in Caria Miletum Ionicam urbem usque.... Si igitur singuli amnes, neque ii quidem magni, id præstant ut in mare prolabentes, quum multum luti atque limi secum ex superioribus locis ubi fontes eorum oriuntur trahant, multum terræ sua alluvione regioni addant : certe non video cur non idem de Indorum regione credi possit, quandoquidem magna ex parte campestris est, et fluvii in ejus campos alluvionem faciunt. Hermum enim et Caystrum et Caicum ac Mæandrum reliquosque Asiæ fluvios qui in mare interius feruntur, ne si omnes quidem conjunxeris, digni sint qui uni Indorum fluminі aquarum copia conferantur : nedum Gangi maximo, cui neque Nili Ægyptii fluenta, neque Ister per Europam fluens comparari possunt. Sed ne ii quidem omnes si simul misceantur, Indum æquant, qui magnus statim ab ipsis fontibus erumpens, et quindecim ex majoribus Asiæ fluminibus in se receptis, nomen suum perpetuo retinens in mare contendit. Atque hoc quidem in præsentia de Indorum regione dixisse sufficiat. Reliqua in historiam Indicam rejiciantur.

κοπτος, Σανδράκυπτος. Postrema forma accuratissime respondet nomini Indico : *Chandraguptas* (*quem luna tuetur*). Vide Ellendt. ad Arr. l. l.; Schlegel. *Ind. Bibl.* tom. I, p. 245; Bohlen. *Alt. Indien* I, p. 91; Lassenius *De pentapot. Ind.* p. 42. 61. — De fluviis plura leges infra. Ad verba πεντεκαίδεκα ποταμοὺς cf. Strabo XV, p. 708 : Πεντεκαίδεκα δὲ τοὺς σύμπαντάς φασι συρρεῖν (εἰς τὸν Ἰνδὸν) τούς γε ἀξιολόγους.

3.

Strabo XV, p. 689 : Τὴν Ἰνδικὴν περιώρικεν ἀπὸ μὲν τῶν ἄρκτων τοῦ Ταύρου τὰ ἔσχατα· ἀπὸ δὲ τῆς Ἀριανῆς μέχρι τῆς ἑῴας θαλάττης, ἅπερ οἱ ἐπιχώριοι κατὰ μέρος Παροπάμισόν τε καὶ Ἠμωδὸν καὶ Ἴμαον καὶ ἄλλα ὀνομάζουσι, Μακεδόνες δὲ Καύκασον· ἀπὸ τῆς ἑσπέρας ὁ Ἰνδὸς ποταμός· τὸ δὲ νότιον καὶ τὸ προσεῷον πλευρὸν πολὺ μείζω τῶν ἑτέρων ὄντα προπέπτωκεν εἰς τὸ Ἀτλαντικὸν πέλαγος, καὶ γίνεται ῥομβοειδὲς τὸ τῆς χώρας σχῆμα, τῶν μειζόνων πλευρῶν ἑκατέρου πλεονεκτοῦντος παρὰ τὸ ἀπεναντίον πλευρὸν τρισχιλίοις σταδίοις, ὅσον ἐστὶ τὸ κοινὸν ἄκρον τῆς τε ἑωθινῆς παραλίας καὶ τῆς μεσημβρινῆς, ἔξω προπεπτωκὸς ἐξ ἴσης ἐφ' ἑκάτερον παρὰ τὴν ἄλλην ἠιόνα. Τῆς μὲν οὖν ἑσπερίου πλευρᾶς ἀπὸ τῶν Καυκασίων ὀρῶν ἐπὶ τὴν νότιον θάλατταν στάδιοι μάλιστα λέγονται μύριοι τρισχίλιοι παρὰ τὸν Ἰνδὸν ποταμὸν μέχρι τῶν ἐκβολῶν αὐτοῦ· ὥστ' ἀπεναντίον ἡ ἑωθινὴ προσλαβοῦσα τοὺς τῆς ἄκρας τρισχιλίους ἔσται μυρίων καὶ ἑξακισχιλίων σταδίων. Τοῦτο μὲν οὖν πλάτος τῆς χώρας τό τ' ἐλάχιστον, καὶ τὸ μέγιστον. Μῆκος δὲ τὸ ἀπὸ τῆς ἑσπέρας ἐπὶ τὴν ἕω· τούτου δὲ τὸ μὲν μέχρι Παλιβόθρων ἔχοι τις ἂν βεβαιοτέρως εἰπεῖν· καταμεμέτρηται γὰρ σχοινίοις (σχοίνοισι Arrian.), καὶ ἔστιν ὁδὸς βασιλικὴ σταδίων μυρίων (codd. δισμυρίων)· τὰ δ' ἐπέκεινα στοχασμῷ λαμβάνεται διὰ τῶν ἀνάπλων τῶν ἐκ θαλάττης διὰ τοῦ Γάγγου ποταμοῦ μέχρι Παλιβόθρων· εἴη δ' ἂν σταδίων ἑξακισχιλίων. Ἔσται δὲ τὸ πᾶν, ᾗ βραχύτατον, μυρίων ἑξακισχιλίων, ὥς ἔκ τε τῆς ἀναγραφῆς τῶν σταθμῶν τῆς πεπιστευμένης μάλιστα λαβεῖν Ἐρατοσθένης φησί· καὶ ὁ Μεγασθένης οὕτω συναποφαίνεται· Πατροκλῆς δὲ χιλίοις ἔλαττόν φησι... Ἐκ δὲ τούτων πάρεστιν ὁρᾶν, ὅσον διαφέρουσιν αἱ τῶν ἄλλων ἀποφάσεις, Κτησίου μὲν οὐκ ἐλάττω τῆς ἄλλης Ἀσίας τὴν Ἰνδικὴν λέγοντος, Ὀνησικρίτου δὲ τρίτον μέρος τῆς οἰκουμένης, Νεάρχου δὲ μηνῶν ὁδὸν τεττάρων τὴν δι' αὐτοῦ τοῦ πεδίου, Μεγασθένους δὲ καὶ Δηϊμάχου μετριασάντων μᾶλλον· ὑπὲρ γὰρ δισμυρίους τιθέασι σταδίους, τὸ ἀπὸ τῆς νοτίου θαλάττης ἐπὶ τὸν Καύκασον. Eundem hunc Eratosthenis locum exscripsit Arrianus Ind. 6, 1—5, quibus ex Megasthene subjicit quæ leguntur fragm. 6. — σχοινίοις] « In omnibus Strabonis codd. legitur σχοινίοις, et apud Arrianum in omnibus σχοίνοις. Quamvis nihil in utraque lectione possit reprehendi, tamen vocem σχοίνοις mutare facilius erat, quam immutare σχοινίοις; Straboni enim mirum videri poterat, schœni mensuram qua Græci uti assueverant, in India adhiberi. Convenit autem schœnus, qui Eratostheni est mensura quadraginta stadiorum (Plinius H. N. XII, 30), accurate cum Indica *jogánæ* mensura, quæ quattuor *cróças* continet. Duplicem vulgo longitudinem jòganæ attribui non ignoro, sed etiam minorem quum ipsi Indi agnoscunt (cf. *As. Res.* V, 105), tum Sinenses peregrinatores (cf. *Foe-kouc-ki* 87-88) et ipse Megasthenes hoc loco Strabonis (p. 708) : οἱ ἀγορανόμοι ὁδοποιοῦσι καὶ κατὰ δέκα στάδια στήλην τιθέασι τὰς ἐκτροπὰς καὶ τὰ διαστήματα δηλοῦσαν. Quo ex loco hoc certe apparet, decem stadia aliquam Indicam mensuram æquare, quæ alia atque minor illâ *croça* esse non potest. » *Schwanbeck*. p. 27.

4.

Strabo II, p. 79 fin. : Φησὶν ὁ Ἵππαρχος ἐν τῷ

---

3.

Indiam a septentrione Tauri extrema terminant; ab Ariana usque in orientale mare montes, quos indigenæ singulatim Paropamisi, Emodi, Imai et aliis nominibus appellant, Macedones vero Caucasum vocant; ab occidente Indus fluvius; australe et orientale latus, quæ sunt reliquis longe majora, in Atlanticum pelagus procurrunt : unde regio rhombi similem figuram præbet; nam utrumvis majorum laterum contrarium sibi latus tribus millibus stadiorum exsuperat, quanta est communis orientalis et meridionalis partis extremitas quæ in utrumque æqualiter excurrit. Occidentalis lateris a Caucasiis montibus ad australe mare tredecim millia stadiorum perhibentur secundum Indum flumen usque ad ejus ostia. Quapropter oppositum orientale latus, assumptis extremitatis tribus millibus erit stadiorum sedecim millium. Atque hæc est maxima et minima regionis latitudo. Longitudo vero est ab occidente in orientem, quæ quanta sit de ea parte quæ usque ad Palibothra pertendit, certius dici potest : schœnis enim dimensa est et viam regiam habet stadiorum decem millium. Ulteriora vero conjectura deprehenduntur per navigationes, quæ ex mari fiunt adverso Gange Palibothra usque, et sunt stadiorum circiter sex millia. Universa igitur longitudo, ubi minima, est stadiorum sedecim millium, ut ex mansionum recensione fide dignissima recepisse se Eratosthenes dicit. Eodem modo etiam Megasthenes mensuras tradit; Patrocles vero mille stadia detrahit... Hic perspici potest quantum reliquorum sententiæ discrepent; nam Ctesias dicit Indiam non esse minorem reliqua Asia, Onesicritus eam esse trientem orbis habitati, Nearchus quattuor mensium iter esse per ipsum campum, Megasthenes vero et Deimachus moderatius agunt. Nam supra viginti millia stadia eam partem ponunt quæ ab australi mari patet in Caucasum.

4.

Addit Hipparchus libro secundo, ipsum Eratosthenem fidem Patrocli derogare, quod is a Megasthene dissenserit

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

SAVE $3,999,994

Did you know we sell paperback books too?

To buy our entire catalog in paperback would cost over $4,000,000

Access it all now for $8.99/month

*Fair usage policy applies

Continue

(sc. a Prasiis sive Palibothris) *in interiore situ Monedes et Suari, quorum mons Maleus, in quo umbræ ad septemtrionem cadunt hieme, æstate in austrum, per senos menses. Septemtriones eo tractu semel in anno apparere, nec nisi quindecim diebus, Bæton* (fr. 4) *auctor est : hoc idem pluribus locis Indiæ fieri, Megasthenes.* Eadem e Plinio Solinus c. 52, non nominato tamen Megasthene. Conferri Schwanbeckius p. 29 jubet Lassen. Institut. linguæ pracriticæ, Append. p. 2.

Ceterum longe plurima quæ Plinius VI, 21, 8 — 23, 11 de gentibus, terris fluminibusque interioris Indiæ recenset, e Megasthene fluxisse probabilis Schwanbeckii conjectura est, quamquam pluribus auctoribus usum esse patet e verbis : *plerique adjiciunt* (21, 8); *alii... alii* 22, 1 ; *Artemidorus* (22, 6). Fortasse Plinius ne inspexit quidem ipsum Megasthenem, sed plurima sua dedit e Senecæ libro De India, qui quum sexaginta Indiæ fluvios, gentes centum et duodeviginti enumerasse a Plinio VI, 21, 5 dicatur, procul dubio exscripserat Megasthenem, quem totidem fluvios totidemque gentes recensuisse compertum habemus.

9.

Strabo XV, p. 693 : Μεγασθένης δὲ τὴν εὐδαιμονίαν τῆς Ἰνδικῆς ἐπισημαίνεται τῷ δίκαρπον εἶναι καὶ δίφορον, καθάπερ καὶ Ἐρατοσθένης ἔφη, τὸν μὲν εἰπὼν σπόρον χειμερινὸν, τὸν δὲ θερινὸν, καὶ ὄμβρον ὁμοίως· οὐδὲν γὰρ ἔτος εὑρίσκεσθαί φησι πρὸς ἀμφοτέρους καιροὺς ἄνομβρον· ὥστε εὐετηρίαν ἐκ τούτου συμβαίνειν, ἀφόρου μηδέποτε τῆς γῆς οὔσης· τούς τε ξυλίνους καρποὺς γεννᾶσθαι πολλοὺς, καὶ τὰς ῥίζας τῶν φυτῶν, καὶ μάλιστα τῶν μεγάλων καλάμων, γλυκείας καὶ φύσει καὶ ἑψήσει, χλιαινομένου τοῦ ὕδατος τοῖς ἡλίοις, τοῦ τ' ἐκπίπτοντος ἐκ Διὸς, καὶ τοῦ ποταμίου. Τρόπον δή τινα λέγειν βούλεται, διότι ἡ παρὰ τοῖς ἄλλοις λεγομένη πέψις καὶ καρπῶν καὶ χυμῶν παρ' ἐκείνοις ἕψησίς ἐστι· καὶ κατεργάζεται τοσοῦτον εἰς εὐστομίαν, ὅσον καὶ ἡ διὰ πυρός· διὸ καὶ τοὺς κλάδους φησὶν εὐκαμπεῖς εἶναι τῶν δένδρων, ἐξ ὧν οἱ τροχοί· ἐκ δὲ τῆς αὐτῆς αἰτίας ἐνίοις καὶ ἐπανθεῖν ἔριον.

Cf. fr. 1, 3. Strabo p. 690. Nearch. fr. 8.

10.

Strabo XV, p. 703 : Καὶ τίγρεις δ' ἐν τοῖς Πρασίοις φησὶν ὁ Μεγασθένης γίνεσθαι μεγίστους, σχεδὸν δέ τι καὶ διπλασίους λεόντων· δυνατοὺς δὲ ὥστε τῶν ἡμέρων τινὰ, ἀγόμενον ὑπὸ τεττάρων, τῷ ὀπισθίῳ σκέλει δραξάμενον ἡμιόνου, βιάσασθαι καὶ ἑλκύσαι πρὸς ἑαυτόν. Κερκοπιθήκους δὲ μείζους τῶν μεγίστων κυνῶν, λευκοὺς πλὴν τοῦ προσώπου· τοῦτο δ' εἶναι μέλαν· παρ' ἄλλοις δ' ἀνάπαλιν· τὰς δὲ κέρκους μείζους δυοῖν πήχεων· ἡμερωτάτους δὲ καὶ οὐ κακοήθεις περὶ ἐπιθέσεις καὶ κλοπάς. Λίθους δ' ὀρύττεσθαι λιβανόχρους, γλυκυτέρους σύκων ἢ μέλιτος. Ἀλλαχοῦ δὲ διπήχεις ὄφεις ὑμενοπτέρους ὥσπερ αἱ νυκτερίδες, καὶ τούτους δὲ νύκτωρ πέτεσθαι, σταλαγμοὺς ἀφιέντας οὔρων, τοὺς δὲ ἱδρώτων, διασήποντας τὸν χρῶτα τοῦ μὴ φυλαξαμένου· καὶ σκορπίους εἶναι πτηνοὺς, ὑπερβάλλοντας μεγέθεσι (cf. fr. 11)· φύεσθαι δὲ καὶ ἔβενον· εἶναι δὲ καὶ κύνας ἀλκίμους, οὐ πρότερον μεθιέντας τὸ δηχθὲν πρὶν εἰς τοὺς ῥώθωνας ὕδωρ καταχυθῆναι· ἐνίοις δ' ὑπὸ προθυμίας ἐν τῷ δήγματι διαστρέφεσθαι τοὺς ὀφθαλμοὺς, τοῖς δὲ καὶ ἐκπίπτειν· κατασχεθῆναι δὲ καὶ λέοντα ὑπὸ κυνὸς καὶ ταῦρον· τὸν δὲ ταῦρον καὶ ἀποθανεῖν κρατούμενον τοῦ ῥύγχους πρότερον ἢ ἀφεθῆναι.

11.

Ælian. N. A. XVII, 39 : Ἐν τῇ Πραξιακῇ χώρᾳ, Ἰνδῶν δὲ αὕτη ἐστίν, Μεγασθένης φησὶ πιθήκους εἶναι τῶν μεγίστων κυνῶν οὐ μείους, ἔχειν δὲ καὶ οὐρὰς πη-

---

9.

Megasthenes Indiæ fœcunditatem ex eo maxime declarat, quod ea bis fructum ferat quoque anno, sicuti etiam Eratosthenes dicit, alteram hibernam sementem, alteram æstivam nominans, sicuti imbrem quoque. Nullum enim annum inveniri dicit utroque tempore sine pluvia, quapropter magnam esse ubertatem, quum semper terra sit fœcunda. Fructus autem arboreos multos gigni, radices stirpium, præsertim magnarum arundinum, et natura et decoctione dulces esse, aqua sole tepefacta tam cœlesti quam pluviali. Quodammodo igitur id videtur dicere, eam, quæ apud alios fructuum et succorum maturitas dicitur, apud illos concoctionem esse, quæ tantum ad suavitatem saporis conducat, quantum ea quæ per ignem fit. Idcirca etiam ramos arborum flexiles esse dicit, e quibus rotæ fiant ; ob eandemque causam in quibusdam lanam innasci.

10.

Megasthenes auctor est tigres apud Prasios gigni magnitudine duplos fere ad leonem, adeo robustos, ut unus e mansuetis, a quattuor hominibus ductus, mulum posteriore pede apprehenderit atque ad se pertraxerit. Cercopithecos vero maximis canibus majores, et totos albos præter faciem, quæ nigra est, etsi apud nonnullos contrarium sit; caudæ longitudinem duos cubitos superare ; ceterum mansuetissimos esse, neque maligne insidiari aut furari. Lapides quoque effodi tureo colore, ficu et melle dulciores. Quibusdam in locis serpentes esse binorum cubitorum, membraneis alis, ut vespertiliones : eos per noctem volare; et lotii aut sudoris stillas dimittere, quæ non caventium eas corpora computrescere cogant. Item scorpios volucres ingentes. Nasci quoque ebenum. Canes etiam esse validissimos, qui quod mordicus corripuerint, non ante dimittant quam aqua naribus infundatur : nonnullis præ vehementia in morsu oculos distorqueri, quibusdam etiam excidere : leonem et taurum a cane detineri : taurum rostro prehensum ab iis necari potius quam dimitti.

11.

In Prasiana Indorum regione Megasthenes simias scribit

χῶν πέντε· προσπεφυκέναι δὲ ἄρα αὐτοῖς καὶ προκόμια, καὶ πώγωνας καθειμένους καὶ βαθεῖς· καὶ τὸ μὲν πρόσωπον εἶναι πᾶν λευκούς, τὸ σῶμα δὲ μέλανας ἰδεῖν, ἡμέρους δὲ καὶ φιλανθρωποτάτους, καὶ τὸ τοῖς ἀλλαχόθι πιθήκοις συμφυὲς οὐκ ἔχειν τὸ κακόηθες.

τὸ σῶμα δὲ] « Quum in Strabone (fr. 10) sit corpus totum album præter faciem, in Æliano contra nigrum, bene animadvertendum est, id, quod Ælianus male omisit, additum a Megasthene, παρ' ἄλλοις δ' ἀνάπαλιν, in aliis ejusdem generis coloris distinctionem corporis et faciei contrariam esse. » SCHNEIDER. Ceterum cf. Ctesiæ fr. 61.

Ex eodem Megasthene fluxisse putanda sunt quæ narrat Ælianus XVI, 10, de simiis Indicis in *Prasiorum regione*: Ἐν Πρασίοις δὲ τοῖς Ἰνδικοῖς εἶναι γένος πιθήκων φασὶν ἀνθρωπόνουν, καὶ ἰδεῖν δέ εἰσι κατὰ τοὺς Ὑρκανοὺς κύνας τὸ μέγεθος· προκόμια τε αὐτῶν ὁρᾶται συμφυῆ, εἴποι δ' ἂν ὁ μὴ τὸ ἀληθὲς εἰδὼς ἀσκητὰς εἶναι αὐτάς· γένειον δὲ αὐτοῖς ὑποπέφυκε σατυρῶδες, ἡ δὲ οὐρὰ κατὰ τὴν τῶν λεόντων ἀλκαίαν ἐστί· καὶ τὸ μὲν ἄλλο πᾶν σῶμα πεφύκασι λευκοί, τὴν δὲ κεφαλὴν καὶ τὴν οὐρὰν ἄκραν εἰσὶ πυρσοί· σώφρονες δὲ καὶ φύσει τιθασοί· εἰσὶ δὲ ὑλαῖοι τὴν δίαιταν καὶ τὸ γένος, καὶ σιτοῦνται τῶν ὀρέων τὰ ἄγρια. Φοιτῶσι δὲ ἀθρόοι εἰς τὸ τῆς Λατάγης προάστειον, πόλις δέ ἐστιν Ἰνδῶν ἡ Λατάγη, καὶ τὴν προτεθειμένην αὐτοῖς ἐκ βασιλέως ἑφθὴν ὄρυζαν σιτοῦνται· ἀνὰ πᾶσαν δὲ ἡμέραν ἡ δαὶς αὐτοῖς εὐτρεπὴς πρόκειται· ἐμφορηθέντας δὲ ἄρα αὐτοὺς ἀναχωρεῖν αὖθις ἐς ἤθη τὰ ὑλαῖά φασι σὺν κόσμῳ, καὶ σίνεσθαι τῶν ἐν ποσὶν οὐδὲ ἕν.

12.

Ælian. N. A. XVI, 41: Μεγασθένης φησὶ κατὰ τὴν Ἰνδικὴν σκορπίους γίνεσθαι πτερωτοὺς μεγέθει μεγίστους, τὸ κέντρον δὲ ἐγχρίπτειν τοῖς Εὐρωπαίοις παραπλησίως· γίνεσθαι δὲ καὶ ὄφεις αὐτόθι, καὶ τούτους πτηνούς· ἐπιφοιτᾶν δὲ οὐ καθ' ἡμέραν, ἀλλὰ νύκτωρ, καὶ ἀφιέναι ἐξ αὐτῶν οὖρον, ὅπερ οὖν ἐὰν κατά τινος ἀποστάξῃ σώματος, σῆψιν ἐργάζεται παραχρῆμα. Καὶ τὰ μὲν τοῦ Μεγασθένους ταῦτα.

Cf. fr. 10; Pausan. IX, 21. Bochart. Hierozoic. II, p. 423, 634 sqq.

13.

Strabo XV, p. 710: Φησὶ γὰρ (sc. Μεγασθένης) τοὺς τὸν Καύκασον οἰκοῦντας ἐν τῷ φανερῷ γυναιξὶ μίσγεσθαι καὶ σαρκοφαγεῖν τὰ τῶν συγγενῶν σώματα· πετροκυλιστὰς δ' εἶναι κερκοπιθήκους, οἳ λίθους κατακυλίουσι κρημνοβατοῦντες ἐπὶ τοὺς διώκοντας, τά τε παρ' ἡμῖν ἥμερα ζῷα τὰ πλεῖστα παρ' ἐκείνοις ἄγρια εἶναι· ἵππους τε λέγει μονοκέρωτας ἐλαφοκράνους· καλάμους δὲ μῆκος μὲν τριάκοντα ὀργυιῶν τοὺς ὀρθίους, τοὺς δὲ χαμαικλινεῖς πεντήκοντα· πάχος δὲ, ὥστε τὴν διάμετρον τοῖς μὲν εἶναι τριπήχη, τοῖς δὲ διπλασίαν.

Equos unicornos fusius describit Ælianus XVI, 20 (cujus narrationem e Megasthene haustam esse ex mentione Præsiorum regis colligitur): Ἐν τοῖς χωρίοις τοῖς ἐν Ἰνδίᾳ, λέγω δὴ τοῖς ἐνδοτάτω, ὄρη φασὶν εἶναι δύσβατά τε καὶ ἔνθηρα· καὶ ἔχειν ζῷα ὅσα καὶ ἡ καθ' ἡμᾶς τρέφει γῆ, ἄγρια δέ· καὶ γάρ τοι καὶ τὰς ὄϊς τὰς ἐκεῖ φασιν εἶναι καὶ ταύτας θηρία, καὶ κύνας καὶ αἶγας καὶ βοῦς, αὐτόνομά τε ἀλᾶσθαι καὶ ἐλεύθερα, ἀφειμένα νομευτικῆς ἀρχῆς. Πλήθη δὲ αὐτῶν καὶ ἀριθμοῦ πλείω φασὶν οἱ τούτων συγγραφεῖς, καὶ οἱ τῶν Ἰνδῶν λόγιοι· ἐν δὴ τοῖς καὶ τοὺς Βραχμᾶνας ἀριθμεῖν ἄξιον, καὶ γάρ τοι καὶ ἐκεῖνοι ὑπὲρ τῶνδε ὁμολογοῦσι τὰ αὐτά. Λέγεται δὲ καὶ ζῷον ἐν τούτοις εἶναι μονόκερων, καὶ ὑπ' αὐτῶν ὀνομάζεσθαι καρτάζωνον· καὶ μέγεθος μὲν ἔχειν ἵππου τοῦ τελείου, καὶ λόφον, καὶ λάχνην ἔχειν ξανθήν, ποδῶν δὲ ἄριστα εἰληχέναι, καὶ εἶναι ὠκιστον, καὶ τοὺς μὲν πόδας ἀδιαρθρώτους τε καὶ ἐμφερεῖς ἐλέφαντι συμπεφυκέναι, τὴν δὲ οὐρὰν συός· μέσον δὲ τῶν ὀφρύων ἔχειν ἐκπεφυκὸς κέρας, οὐ λεῖον, ἀλλὰ ἑλιγμούς ἔχον τινὰς καὶ μάλα αὐτοφυεῖς, καὶ εἶναι μέλαν τὴν χρόαν· λέγεται δὲ καὶ ὀξύτατον εἶναι τὸ κέρας ἐκεῖνο· φωνὴν δὲ ἔχειν τὸ θηρίον ἀκούω τοῦτο πάντων ἀπηχεστάτην τε καὶ γεγωνοτάτην· καὶ τῶν μὲν ἄλλων αὐτῷ ζῴων προσιόντων φέρειν, καὶ πρᾶον εἶναι, λέγουσι δὲ ἄρα πρὸς τὸ ὁμόφυλον δύσεριν εἶναί πως. Καὶ οὐ μόνον φασὶ τοῖς ἄρρεσιν εἶναί τινα συμφυῆ κύριξίν τε πρὸς ἀλλήλους καὶ μάχην, ἀλλὰ καὶ πρὸς τὰς θηλείας ἔχουσι θυμὸν τὸν αὐτὸν, καὶ προάγειν τε τὴν φιλονεικίαν καὶ μέχρι θανάτου ἡττηθέντα ἐξάγουσαν· ἔστι μὲν οὖν καὶ διὰ παντὸς τοῦ σώματος ῥωμαλέον, ἀλκὴ δέ οἱ τοῦ κέρατος ἄμαχός ἐστι. Νομὰς δὲ ἐρήμους ἀσπάζεται καὶ πλανᾶται μόνον· ὥρᾳ δὲ

maximis canibus non inferiores esse magnitudine; quinque cubitorum caudam habere; ex earum fronte comas propendere, easdemque barbam promittere; facie alba esse, corpore vero nigro; neque malitiam ceteris simiis ingenitam ostendere, sed mansuetos esse, hominumque amantissimos.

12.

Megasthenes in India scorpios alatos et magnitudine sua insignes nasci ait, et aculeis pungere similiter atque Europæos; ibidem serpentes gigni volucres, non die sed noctu infestas, quæ urinam quoque reddant; ea si in corpus alicujus destillet, statim ei afferre putredinem. Hæc Megasthenes.

13.

Tradit Megasthenes Caucasi habitatores palam cum mulieribus coire et cognatorum carnibus vesci; porro cercopithecos esse, qui per præcipitia incedentes saxa contra insequentes detrudant; animalia vero, quæ apud nos mansueta sunt, apud illos magna ex parte fera esse; equos ibi unicornos reperiri cervinis capitibus; arundines triginta ulnarum esse longitudine erectas, obliquas autem ad quinquaginta, tantaque crassitudine, ut nonnullis diameter sit trium cubitorum, quibusdam etiam duplex.

ἀφροδίτης τῆς σφετέρας συνδυασθεὶς πρὸς τὴν θήλειαν πεπραΰνται, καὶ μέντοι καὶ συννόμω Ιστόν· εἶτα ταύτης παραδραμούσης καὶ τῆς θηλείας κυούσης, ἐκθηριοῦται αὖθις, καὶ μονίας ἐστὶν ὅδε ὁ Ἰνδὸς καρτάζωνος. Τούτων οὖν πώλους πάνυ νεαροὺς κομίζεσθαί φασι τῷ τῶν Πραισίων βασιλεῖ, καὶ τὴν ἀλκὴν ἐν ἀλλήλοις ἀποδεί-κνυσθαι κατὰ τὰς πανηγυρικάς· τέλειον δὲ ἁλῶναί ποτε οὐδεὶς μέμνηται.

Id. c. 21 : Ὑπερελθόντι τὰ ὄρη τὰ γειτνιῶντα τοῖς Ἰνδοῖς κατὰ τὴν ἐνδοτάτην πλευρὰν φανοῦνται, φασὶν, αὐλῶνες δασύτατοι, καὶ καλεῖταί γε ὑπ' Ἰνδῶν ὁ χῶρος Κόρουδα (Κολουνδα v. l.)· ἁλῶνται δὲ ἄρα, φασὶν, ἐν τοῖσδε τοῖς αὐλῶσι ζῷα Σατύροις ἐμφερῆ τὰς μορφὰς, τὸ πᾶν σῶμα λάσια, καὶ ἔχει κατὰ τῆς ἰξύος ἵππουριν. Καὶ καθ' ἑαυτὰ μὲν μὴ ἐνοχλούμενα διατρίβειν ἐν τοῖς δρυμοῖς ὑλοτραγοῦντα, ὅταν δὲ αἴσθωνται κυνηγετῶν κτύπου, καὶ ἀκούσωσι κυνῶν ὑλακῆς, ἀναθέουσιν εἰς τὰς ἀκρωρείας αὐτὰς ἀμηχάνῳ τῷ τάχει· καὶ γάρ εἰσι ταῖς ὀρειβασίαις ἐντριβεῖς. Καὶ ἀπομάχονται πέτρας τινὰς κυλινδοῦντες κατὰ τῶν ἐπιόντων, καὶ καταλαμ-βανόμενοί γε πολλοὶ διαφθείρονται. Καὶ ἐκ τούτων εἰσὶν ἐκεῖνοι δυσάλωτοι· καὶ μόλις ποτὲ καὶ διὰ μακροῦ τινὰς αὐτῶν εἰς Πραισίους κομίζεσθαι λέγουσι· καὶ τούτων μέντοι ἢ τὰ νοσοῦντα ἐκομίσθη, ἢ θήλεά τινα καὶ κυοῦντα· καὶ συνέβη γε θηραθῆναι τοῖς μὲν διὰ τὴν νωθείαν, ταῖς δὲ διὰ τὸν τῆς γαστρὸς ὄγκον. Cf. Plinius H. N. VII, 2, 17 : *Sunt et Satyri Subsolanis Indorum montibus* (*Catharcludorum* [*Caturdudorum, Cartadulorum* v. l.] *dicitur regio*), *pernicissimum animal : cum quadrupedes, tum recte currentes, humana effigie, propter velocitatem, nisi senes aut ægri, non capiuntur*. Cf. Ctesiæ fr. 57, p. 87.

14.

Plinius VIII, 14, 1 : *Megasthenes scribit in India serpentes in tantam magnitudinem adolescere, ut solidos hauriant cervos taurosque*. Cf. Solinus c. 52, 33 : *Enormitas in serpentibus tanta est ut cervos et animantium alia ad parem molem tota hauriant*. Ælian. XVI, 22 : Γίνονται δὲ ὄφεις παρ' αὐτοῖς μεγέθει μέγιστοι, ὧν οἱ μὲν ἁρπάζουσι τὰς ποίμνας καὶ σιτοῦνται, οἱ δὲ ἐκθηλάζουσι τὸ αἷμα. Conjungit hæc Ælianus cum descriptione Sciratarum populi simi. Hæc vero expresse Megastheni tribuit Plinius, ut dubium vix sit Ælianum quoque ex Megasthene hausisse. Ex eodem fonte Schwanbeckius fluxisse censet, quæ leguntur apud Ælianum XVII, 2, de avibus Indicis, psittacis, pavonibus, columbis, gallis; XVI, 3 de cercione ave; c. 4 de cela ave; c. 5 de upupa Indica, deque ejus origine fabula; c. 6 de phattage animali; c. 8 de hydris; c. 9 de mulis silvestribus (ubi iterum memoratur ὁ τῶν Πραισίων βασιλεύς); c. 11 de pœophago; c. 12 de insigni cetorum aliarumque belluarum Indiæ magnitudine; c. 13 de rajis et squillis Indicis; c. 14 de testudine Indica fluviatili et terrestri; c. 15 de solertia animalium Indicorum, præcipue de formicis (de quibus Ælianus etiam Jubam scripsisse ait); c. 16 de antro Plutonis in India sacrisque ibi peractis; c. 17 de insula Taprobane et de testudinibus maris magni; c. 18 de elephantis Taprobanæ insulæ, deque marinis circa eam belluis; c. 19 de lepore maris Indici. — Quæ omnia nos non exscribimus, etsi recte conjecisse Schwanbeckium existimamus.

15.

Ælian. N. A. VIII, 7 : Μεγασθένους ἀκούω λέγοντος περὶ τὴν τῶν Ἰνδῶν θάλατταν γίγνεσθαί τι ἰχθύδιον, καὶ τοῦτο μὲν ὅταν ζῇ, ἀθέατον εἶναι, κάτω που νηχόμενον καὶ ἐν βυθῷ, ἀποθανὸν δὲ ἀναπλεῖν· οὗ τὸν ἁψάμενον λειποθυμεῖν καὶ ἐκθνήσκειν τὰ πρῶτα, εἶτα μέντοι καὶ ἀποθνήσκειν.

« Philes c. 81, 16—21, de pisciculo illo : βραχύς τις ἰχθὺς μέλας. Unde colorem noverat ille? Num in suo libro invenerat : καὶ τοῦτο μέλαν? » Jacobs.

16.

Plinius H. N. VI, 24 : *Megasthenes flumine dividi* (*Taprobanen insulam tradit*) *incolasque palæogonos appellari, aurique margaritarumque fertiliores quam Indos*. Cf. Onesicriti fr. 21.

« Palæogonorum nomen in hunc modum explicare studuit Lassenius (Dissert. De ins. Taprobane p. 9) : *Dicamus notum fuisse Megastheni fabulam Indorum, qua primi insulæ incolæ Râxasæ s. Gigantes progenitorum mundi filii fuisse traduntur. Hos minime inepte Palæogonorum appellatione significare poterat*. Contra hanc sententiam dicere liceat, Megasthenem hac voce tam insolita et ab usu quotidiani sermonis tam remota gentis ipsum nomen indicare voluisse, non describere gentem, deinde Megasthenem solere nomina non vertere, sed ad sonum et cum paronomasia quadam reddere; postremo, Taprobanes et urbis principis nomen Παλαισιμούνδου brevi post inveniri voci Παλαιόγονοι simillimum. Itaque, quum Lassenius capitis nomen Παλαισιμούνδου sanscrite vocari *pâli-simânta* (i. e. doctrinæ sacræ caput) egregie exposuerit, Palæogonorum nomen ex voce sanscrita *pâli-g'anâs*

---

15.

Megasthenem audio dicentem in mari Indico quendam pisciculum nasci, eumque, quoad vivit, in profundo natantem non apparere, mortuum vero ad summam aquam fluitare; qui eum contigerit, primum animi defectu laborare, deinde autem mori.

πολλὴν δοκέει μοι ἐπελθεῖν τῆς Ἰνδῶν χώρης, πλήν γε ὅτι πλεῦνα ἢ οἱ ξὺν Ἀλεξάνδρῳ τῷ Φιλίππου ἐπελθόντες. Συγγενέσθαι γὰρ Σανδρακόττῳ λέγει, τῷ μεγίστῳ βασιλεῖ καὶ Πώρῳ, ἔτι τούτου μέζονι (καὶ Πώρου ἔτι τούτῳ μέζονι em. Schwanb.).

Strabo XV, p. 702 de Gange : Λέγουσιν οἱ μὲν τριάκοντα σταδίων τοὐλάχιστον πλάτος, οἱ δὲ καὶ τριῶν· Μεγασθένης δὲ, ὅταν ᾖ μέτριος, καὶ ἐς ἑκατὸν εὐρύνεσθαι, βάθος δὲ εἴκοσι ὀργυιῶν τοὐλάχιστον. Ἐπὶ δὲ συμβολῇ τούτου κτλ. Vide infra fr. 26.

Cf. Plinius VI, 21, 9 : *Flumina Prinas et Cainas* (*quod in Gangem influit*) *ambo navigabiles. Gentes Calingæ proximi mari, et supra Mandei, Malli, quorum mons Mallus, finisque ejus tractus est Ganges. Hunc alii incertis fontibus ut Nilum, rigantemque vicina eodem modo, alii in Scythicis montibus nasci dixerunt. Influere in eum XIX amnes. Ex iis navigabiles præter jam dictos Condochatem, Erannoboam, Cosoagum, Sonum. Alii cum magno fragore ipsius statim fontis erumpere, dejectumque per scopulosa et abrupta, ubi primum molles planities contingat, in quodam lacu hospitari, inde lenem fluere, ubi minimum, VIII mill. passuum latitudine, ubi modicum, stadiorum centum, altitudine nusquam minore passuum XX.* Cf. Solin. 52, 6.

Ex fluminibus undeviginti, quos in *Gangem* influere Plinius dicit, Arrianus l. l. recenset septemdecim. Quibus duodevicesimus addi potest ex Arriano 8, 5 Ἰωβάρης, vel uti rectius apud Plin. VI, 22, 6 legitur : *Jomanes*.

De singulorum nominum ratione Schwanbeckius p. 34 docet hæc : « Nominum multorum explicatio est difficillima, paucorum adhuc successit. Postquam Rennellius, Mannertus, Wilfordius in hac re explicanda industriam posuerunt, iterum fuit Schlegelii et Lassenii, nomina, quantum fieri, potuit, illustrare. Ita constant hæc nomina : Σῶνος, sanscr. *Çônas* Ἐραννοβόας, *Hiran javâha* (i. e. χρυσοφόρος, aurifer), Çônæ cognomen; Κονδοχάτης, *Gandacavatî* (i. e. ῥινοκερόεις), altera forma nominis Gandaci; Iomanes, *Iamunâ*. Κομμενάσης, *Carmanâçâ* ex sententia Rennellii et Lassenii (*Ind. Alterthumskunde* I, 130). Sed dubitationem dat id quod additur μέγας ποταμός. — Præterea explicare possum, quo nomine ab Indis appelletur Ὀξύμαγις, ἐπὶ Παζάλαις καλουμένοισι ξυμβάλλων τῷ Γάγγῃ. Jamdiu enim constat inter omnes, eam gentem, quam Megasthenes appellavit Παζάλαι, Plinius H. N. VI, 22, 4 *Passalæ*, Ptolemæus Πασσάλαι, sanscrite nuncupatam esse *Pank'âla*, et habitavisse circa Canjacubg'am in ea mesopotamia, quæ Iamunæ et Gangi interjacet. Hanc autem regionem vel potius vicinam perfluit *Ixumatî* (i. e. arundine saccharifera abundans) ita nominatus, qualia regio, quæ inter Vipâçam et Gangem secundum Himâlajam extenditur, arundinis sacchariferæ est uberrima, de qua re cf. Ritterum *Asien* II, 847. Memoratur Ixumatî Harivanç. 9507, 12829, accuratius Râmâj. II. 68, 17, quo loco nuntiorum iter describitur. Nuntii, Gangem Hâstinapuræ transgressi, inde in terram Pank'âlam perveniunt : et per loca quædam adhuc ignota profecti, Culindam urbem attingunt, et transgressi Ixumatim per mediam Bâhicarum terram ad Sudâmanem montem, deinde ad Vipâçam perveniunt. Etsi Culindarum gentem novimus inter fontes Vipâçæ et Gangis habitasse (cf. Lassen. *Zeitschr.* II, 21 seq.), tamen cui urbi Culindæ nomen fuerit nescimus. Itaque etiam hoc relinquitur in dubio, quod flumen Ixumati appelletur : nam Iamunam id esse, vix audeo contendere. In nomine græco litteræ Γ et Τ videntur esse permutatæ, ita ut legendum sit Ὀξύματις. — Cetera, quæ de nominibus illis VV. DD. dixerunt, non excedunt opinionum auctoritatem. Inanem et memoratu non dignam aliam super aliam conjecturam protulit Forbigerus (*Alte Geographie* II, 1844). *Andomatim* (Ἀνδώματις ἐκ Μανδιαδινῶν) Lassenius egregie explicavit ex terra *madj'andina* i. e. meridionali profluere, et sanscrite nuncupari *and'amatî* (i. e. cæcus), deinde idem flumen And'amatim esse atque Tamasam (i. e. obscurus) conjecit in *Ind. Alterth.* I, 130. *Cossoanum* s. *Cosoagum* esse *Caucîsim*, est conjectura Wilfordii (*As. Res.* V, 272) et Schlegelii (*Ind. Biblioth.* II, 402.) Non modo propius, sed etiam accuratissime nomini Cosoagus responderet sanscritum *côs'avdha* i. e. θησαυροφόρος, quod nomen idem significaret atque hiran'javâha, Çônæque cognomen non minus aptum esset. Quam conjecturam nominis collocatio confirmat, quum vocem Cosoagus et Arrianus et Plinius inter nomina Σῶνος et Ἐραννοβόας collocaverint. Minus autem eorum sententia potest probari, qui nomine *Cainas Cênam* significari voluerunt. Primum enim, tametsi littera sanscrita *ê* ubique littera η, nusquam litteris αι græce redditur (cf. apud Megasthenem ipsum voces Μηρός et Mêru, Σουρασῆναι et Çûrasêna), tamen Arrianus et Plinius uno ore *Cainas* nomen pronuntiant, deinde Cêna in Iamunam, non in Gangem influit, postremo Plinii descriptio, licet de multis rebus sit obscura, haud dubie ad

Quidam minimam Gangis latitudinem triginta stadiorum dicunt, quidam trium; Megasthenes eum, ubi mediocris est, vel ad centum stadia dilatari, minimam vero profunditatem esse viginti ulnarum.

alias regiones spectat inter septentriones et orientem sitas. — Vox 'Ερέννεσις cum nomine urbis clarissimæ *Varân'asî* mire congruit, quod ex duorum fluminum nominibus compositum etiam in Indicis fluminum catalogis omnibus conjunctum legitur. Sed ne explicationi isti fides deesset, Matharum obscuritas esset illustranda, quorum nomen sanscritum esse *Mag'ada*, conjici potius quam probari potest. Neque minus est ignotum nomen Καταδούπη, cujus ultima pars ad similitudinem vocis sanscritæ *dvîpa* (i. e. insula) accedit. — 'Ωμαλις convenit cum consueto fluminis nomine *Vimalâ*. Cf. Hariv. 9517. »

De nominibus fluviorum, quæ in Indum se infundunt, v. Schlegel. *Ind. Bibl.* II, p. 295 sq., Lassenius in Pentapol. p. 11 sq. et in *Ind. Alterthumskunde* I, 29, 44 sqq.; Schwanbeck. l. l. p. 31 sq. Ἰνδὸς sanscrite est *Sindu*; Ὑδάσπης, *Vitasta*; Ἀκεσίνης (*Cantabra* Plinius, Σανδαβάλας Ptolem., Σανδροφάγος *Hesych.*, quod nomen Alexander in Ἀκεσίνης mutavit), *Kandrabâgâ*; Ὑδραώτης (Ὑάρωτις Strabo, Ῥούαδις Ptol.), *Irâvâti*; Ὕφασις (Ὕπανις Strabo, alii), (*Vipâçâ*); hunc fluvium in *Irâvâtim* effundi M. dicit; falso; influit *Çatadrum*. Σόανος est *Suvana*; Σαράγγης, *Çâranga*. — De reliquis parum constat. De Soasto tamen et Garœa Schwanbeck. p. 32 notat hæc: « Soastum idem flumen esse Lassenius (*Zur Gesch. d. griech. u. Indoscyth. Kœnige* p. 144) dixit atque quod Fahian Sinensis nominavit *Su pho su tu*, i. e. Çubavastu, quod nunc vocatur *Sewad*. Etsi res ipsa non dubia est, tamen quum Megasthenes et Ptolemæus uno ore flumen appellaverint Σόαστος et Σούαστος, nomen sanscritum non çubavastu esse potest, sed quod idem significat, *suvastu*. — *Garœas*, Alexandri historia notus, ab Arriano Exp. IV, 25, 10 nuncupatur Γουραῖος, corruptissime in Itinerario Al. 106 *Poturæus*, et apud Strabonem p. 697 et Ptolemæum in hac regione urbs quædam Γώρυς et Γωρύα commemoratur. Nunc vocatur *Pangcora*. Sanscrita nomina horum fluviorum nondum reperta sunt, quæ nescio an insint in catalogo fluminum Mahabhârata VI, 333, ubi deinceps enumerantur *Suvastu*, *Gâuri*, *Campanâ*. — *Tutapus*, si respexeris ad verba μέγας ποταμός, quæ addita sunt, vix aliud flumen esse videtur atque *Çatadru*: sed ignotum est nomen. » — De regionum et populorum nominibus idem Schwanbeckius affert hæc: « Πευκελαῖτις sanscrite vocatur *Puscala*, *Puscalavati* (Cf. Lassen. *Zeitschft. f. Kunde d. Morgenlandes*, I, p. 224; III, p. 197), apud Græcos variis nominibus: Πευκελαῶτις χώρα Arrian. Exp. IV, 22, 9; πόλις Πευκελαῶτις id. IV, 28, 10; πόλις Πευκέλα, id. Ind. 1 et ex fonte eodem Πευκολαῖτις πόλις Strabo p. 698, *Peucolaitis oppidum*, Plinius VI, 21, 7; *Peucolaitæ*, id. VI, 23, 8; ἄγρια φῦλα Πευκαλέων, Dion. Per. 1143, Ποκλαΐς, Ptolem.; Προκλαΐς, [Arrian.] Peripl. mar. Erythr. p. 21 Huds. — Κηκεῖς, *Cécajæ*, Lassen. Pentap. p. 12. — Ἀβισσαρεῖς, *Abisaræ*. Lassen. Pentap. p. 18; *Zeitschft* II, p. 50; Ritter. *Asien* II, p. 1085. Præterea nomen pronunciatur Ἀβισάρης (Ἀμβισάρης) Arr. et al., Ἐμβίσαρος Diod. XVII. 87, Ἀποσισάρης Ælian. H. A. XVI. 39, Tzetz. Chil. III. 941. — Μαλλοί, *Mâlavæ*, Lassen. *Zeitschr.* III, p. 196. Accuratius nomen scribitur Μαλοί ap. Strab. p. 701, Steph. Byz. ed. Ald. et Xyland., Arr. Diod. ed. Basil. — Ὀξύδρακαι, *Xudracæ*. Lassen. *Zeitschr.* III. 199. Ὀξύδρακαι Arr. Strab. Paus. Steph. et al., *Oxydracæ* L. Ampel., Ὑδράκαι Strab. p. 687 ex Megasthene, Ὑδράκαι Dionys. ap. Steph. Byz., Συρακοῦσαι Diod. XVII, 98, Σκύδροι (var. l. Σκύδροι, Σκόθροι, Σκύθροι) Dion. Perieg. 1142, *Sydraci* Plin. H. N. XII, 12, Sygambri. Justin. VIII, 9, 3. — *Assacenæ* obscuri sunt; Assacanos autem s. Assacenos Alexandri tempore scimus inter Indum et Guræum habitavisse. Arr. Exp. Al. IV, 25, 7, Ind. 1, Strab. p. 698, Curt. VIII, 10, 22, Itiner. Alex. 106. — *Cambistholorum* nomen sanscritum nescio an sit *Capist'ala*, i. e. simiarum regio, in quo nomine littera *M* ante litteram *B* eodem modo inserta sit, quo in nominibus Παλίμβοθρα, Ἐμβίσαρος. Enumeratur Capist'ala inter Indicas terras Varâsanh. *As. Res.* VIII. 438. Mire Vilso (Vis'n'u-Purân'. 194.) Cambistholos eosdem esse suspicatus est atque Cambôg'as, a quibus quum nomine tum situ multum absunt. »

19.

Arrianus Ind. 6, 2: Καὶ τόδε λέγει Μεγασθένης· ὑπὲρ ποταμοῦ Ἰνδικοῦ, Σίλαν μὲν εἶναί οἱ οὔνομα, ῥέειν δὲ ἀπὸ κρήνης ἐπωνύμου τῷ ποταμῷ διὰ τῆς χώρης τῆς Σιλέων, καὶ τούτων ἐπωνύμων τοῦ ποταμοῦ τε καὶ τῆς κρήνης· (3) τὸ δὲ ὕδωρ παρέχεσθαι τοιόνδε· οὐδὲν εἶναι ὅτεῳ ἀντέχει τὸ ὕδωρ, οὔτε τι νήχεσθαι ἐπ' αὐτοῦ οὔτε τι ἐπιπλέειν, ἀλλὰ πάντα γὰρ ἐς βυσσὸν δύνειν· οὕτω τι ἀμενηνότερον πάντων εἶναι τὸ ὕδωρ ἐκεῖνο καὶ ἠεροειδέστερον.

19.

Etiam hoc Megasthenes de flumine quodam Indico commemorat: Silam ei nomen esse, fluere ex fonte ejusdem cum flumine nominis per regionem Silorum, qui etiam eandem, quam fons et fluvius, appellationem habeant. (3) Ejus aquam ejusmodi esse, ut nihil omnino sustinere possit, neque quicquam ei innatare neque supernavigare, sed omnia in fundum demergi. Ita præ reliquis omnibus hanc aquam impatientem atque magis aeream esse.

In regione montana Silam fluvium esse Megasthenes tra-

Strabo XV, p. 703: Ἐν δὲ τῇ ὀρεινῇ Σιλίαν (Σίλαν Epit. Strab.) ποταμὸν εἶναι (Megasthenes ait), ᾧ μηδὲν ἐπιπλεῖ· Δημόκριτον μὲν οὖν ἀπιστεῖν ἅτε πολλὴν τῆς Ἀσίας πεπλανημένον· καὶ Ἀριστοτέλης δὲ ἀπιστεῖ.

Cf. fr. 1, 17, ubi Σίλλα scribitur. Eadem narrantur in Boissonad. An. gr. I, p. 419. Siden (ΣίΔην pro ΣίΛην) stagnum ex Ctesia fr. 82 affert Plinius XXXI, 2. « Hanc quoque fabulam, Schwanbeckius ait p. 37, Lassenius (*Zeitschft.* II, p. 63) literis Indicis illustravit: Indi septentriones versus Çilam flumen esse putant, in quo immersa in lapides omnia vertantur: qua re sane efficitur, ut omnia mergantur, neque quidquam innatet (cf. Mahab. II, 1858). *Çila* idem valet atque lapis. »

20.

## E LIBRO SECUNDO.

Strabo XV, p. 687: Ἡμῖν δὲ τίς ἂν δικαία γένοιτο πίστις περὶ τῶν Ἰνδικῶν ἐκ τῆς τοιαύτης στρατείας τοῦ Κύρου ἢ τῆς Σεμιράμιδος (sc. contra Indos, de quibus expeditionibus narraverat Nearchus fr. 23); Συναποφαίνεται δέ πως καὶ Μεγασθένης τῷ λόγῳ τούτῳ, κελεύων ἀπιστεῖν ταῖς ἀρχαίαις περὶ Ἰνδῶν ἱστορίαις· οὔτε γὰρ παρ' Ἰνδῶν ἔξω σταλῆναί ποτε στρατιάν, οὔτ' ἐπελθεῖν ἔξωθεν καὶ κρατῆσαι, πλὴν τῆς μεθ' Ἡρακλέους καὶ Διονύσου, καὶ τῆς νῦν μετὰ Μακεδόνων. Καίτοι Σέσωστριν μὲν τὸν Αἰγύπτιον καὶ Τεάρκωνα τὸν Αἰθίοπα ἕως Εὐρώπης προελθεῖν, Ναβοκοδρόσορον δὲ τὸν παρὰ Χαλδαίοις εὐδοκιμήσαντα, Ἡρακλέους μᾶλλον, καὶ ἕως Στηλῶν ἐλάσαι· μέχρι μὲν δὴ δεῦρο καὶ Τεάρκωνα ἀφικέσθαι· ἐκεῖνον δὲ καὶ ἐκ τῆς Ἰβηρίας εἰς τὴν Θρᾴκην καὶ τὸν Πόντον ἀγαγεῖν τὴν στρατιάν. Ἰδάνθυρσον δὲ τὸν Σκύθην ἐπιδραμεῖν τῆς Ἀσίας μέχρι Αἰγύπτου· τῆς Ἰνδικῆς δὲ μηδένα τούτων ἅψασθαι. Καὶ Σεμίραμιν δ' ἀποθανεῖν πρὸ τῆς ἐπιχειρήσεως. Πέρσας δὲ μισθοφόρους μὲν ἐκ τῆς Ἰνδικῆς μεταπέμψασθαι Ὕδρακας· ἐκεῖ δὲ μὴ στρατεῦσαι, ἀλλ' ἐγγὺς ἐλθεῖν μόνον, ἡνίκα Κῦρος ἤλαυνεν ἐπὶ Μασσαγέτας.

Καὶ τὰ περὶ Ἡρακλέους δὲ καὶ Διονύσου Μεγασθένης μὲν μετ' ὀλίγων πιστὰ ἡγεῖται· τῶν δ' ἄλλων οἱ πλείους, ὧν ἐστι καὶ Ἐρατοσθένης, ἄπιστα καὶ μυθώδη, καθάπερ καὶ τὰ παρὰ τοῖς Ἕλλησιν.

21.

Arrianus Ind. 5, 4: Οὗτος ὦν ὁ Μεγασθένης λέγει, οὔτε Ἰνδοὺς ἐπιστρατεῦσαι οὐδαμοῖσιν ἀνθρώποισιν, οὔτε Ἰνδοῖσιν ἄλλους ἀνθρώπους· (5) ἀλλὰ Σέσωστριν μὲν τὸν Αἰγύπτιον, τῆς Ἀσίης καταστρεψάμενον τὴν πολλὴν, ἔστε ἐπὶ τὴν Εὐρώπην σὺν στρατιῇ ἐλάσαντα ὀπίσω ἀπονοστῆσαι· (6) Ἰνδάθυρσιν δὲ τὸν Σκύθεα ἐκ Σκυθίης ὁρμηθέντα πολλὰ μὲν τῆς Ἀσίης ἔθνεα καταστρέψασθαι, ἐπελθεῖν δὲ καὶ τὴν Αἰγυπτίων γῆν κρατέοντα· (7) Σεμίραμιν δὲ τὴν Ἀσσυρίην ἐπιχειρέειν, μὲν στέλλεσθαι εἰς Ἰνδοὺς, ἀποθανεῖν δὲ πρὶν τέλος ἐπιθεῖναι τοῖσι βουλεύμασιν· ἀλλὰ Ἀλέξανδρον γὰρ στρατεῦσαι ἐπὶ Ἰνδοὺς μοῦνον. (8) Καὶ πρὸ Ἀλεξάνδρου Διονύσου μὲν πέρι πολλὸς λόγος κατέχει, ὡς καὶ τούτου στρατεύσαντος ἐς Ἰνδοὺς, καὶ καταστρεψαμένου Ἰνδούς· Ἡρακλέος δὲ πέρι οὐ πολλός. (9) Διονύσου μέν γε καὶ Νύσσα πόλις μνῆμα οὐ φαῦλον τῆς στρατηλασίης καὶ ὁ Μηρὸς τὸ ὄρος, καὶ ὁ κισσὸς ὅτι ἐν τῷ ὄρεϊ τούτῳ φύεται· καὶ αὐτοὶ οἱ Ἰνδοὶ ὑπὸ τυμπάνων τε καὶ κυμβάλων στελλόμενοι ἐς τὰς μάχας· καὶ ἐσθὴς αὐτοῖσι κατάστικτος ἐοῦσα, καθάπερ τοῦ Διονύσου τοῖσι βάκχοισιν· (10) Ἡρακλέος δὲ οὐ πολλὰ ὑπομνήματα. Ἀλλὰ τὴν Ἄορνον γὰρ πέτρην, ἥντινα Ἀλέξανδρος βίῃ ἐχειρώσατο, ὅτι Ἡρακλέης οὐ δυνατὸς ἐγένετο ἐξελεῖν,

---

dii, cui nihil innatet; quamquam id non credat Democritus, qui bonam partem Asiæ peragraverit; sed Aristoteles quoque non credit.

## E LIBRO SECUNDO.

20.

Quænam nobis de rebus Indicis fides esse possit ex tali Cyri vel Semiramidis expeditione? Patrocinatur nostro sermoni quodammodo etiam Megasthenes fidem jubens derogare antiquis de India narrationibus. Neque enim ab Indis foras missum exercitum unquam, neque extrinsecus ingruisse et obtinuisse, excepta Herculis et Bacchi expeditione et hac ipsa Macedonica. Sane Sesostrim Ægyptium et Tearconem Æthiopem usque in Europam processisse, Nabucodonosorum autem, qui apud Chaldæos inclaruit magis quam Hercules, vel usque ad columnas progressum esse, quousque etiam Tearconem; illum etiam exercitum ex Hispania in Thraciam et Pontum duxisse; Idanthyrsum Scytham, factis in Asiam excursionibus, attigisse etiam Ægyptum: ad Indiam vero eorum neminem pervenisse; nam Semiramin, priusquam egrederetur, obiisse. A Persis Hydracas ex India mercede accitos fuisse; illos autem copias suas in Indiam duxisse nunquam, prope tamen accessisse, quum Cyrus duceret in Massagetas.

Herculis autem et Bacchi res gestas Megasthenes cum paucis quibusdam credit; reliquorum longe plurimi, inter eosque etiam Eratosthenes fabulosa et non credenda putant, sicuti etiam ea, quæ apud Græcos circumferuntur.

21.

Scribit Megasthenes, neque Indos cum ullis hominibus bellum unquam gessisse, neque ullos externos Indis bellum intulisse. (5) Sesostrim enim Ægyptium, magna Asiæ parte subacta, postquam in Europam usque cum exercitu processerat, retrocessisse; (6) Indathyrsim autem Scytham e Scythia profectum multas Asiæ gentes debellasse: Ægyptum etiam victorem adiisse; (7) ac Semiramidem quidem Assyriam tentasse exercitum in Indos ducere, sed mortem ejus consilia conatusque fregisse; solum vero Alexandrum in Indos expeditionem fecisse. (8) Atqui ante Alexandrum fama tenet Liberum contra Indos expeditionem suscepisse, eosque subegisse: de Hercule infirmior fama est. (9) At vero expeditionis a Libero factæ non leve

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

SAVE $3,999,994

Did you know we sell paperback books too?

To buy our entire catalog in paperback would cost over $4,000,000

Access it all now for $8.99/month

*Fair usage policy applies

Continue

τέεσθαι δὲ τῶν δενδρέων τὸν φλοιόν· καλέεσθαι δὲ τὰ δένδρεα ταῦτα τῇ Ἰνδῶν φωνῇ Τάλα· καὶ φύεσθαι ἐπ' αὐτῶν κατάπερ τῶν φοινίκων ἐπὶ τῇσι κορυφῇσιν οἷά περ τολύπας. Σιτέεσθαι δὲ καὶ τῶν θηρίων ὅσα ἕλοιεν ὠμοφαγέοντας, πρὶν δὴ Διόνυσον ἐλθεῖν ἐς τὴν χώρην τῶν Ἰνδῶν. Διόνυσον δὲ ἐλθόντα, ὡς καρτερὸς ἐγένετο Ἰνδῶν, πόλιάς τε οἰκῆσαι καὶ νόμους θέσθαι τῇσι πόλισιν, οἴνου τε δοτῆρα Ἰνδοῖς γενέσθαι κατάπερ Ἕλλησι, καὶ σπείρειν διδάξαι τὴν γῆν διδόντα αὐτὸν σπέρματα· ἢ οὐκ ἐλάσαντος ταύτῃ Τριπτολέμου, ὅτε περ ἐκ Δήμητρος ἐστάλη σπείρειν τὴν γῆν πᾶσαν, ἢ πρὸ Τριπτολέμου τις οὗτος Διόνυσος ἐπελθὼν τὴν Ἰνδῶν γῆν σπέρματά σφισιν ἔδωκε καρποῦ τοῦ ἡμέρου· βόας τε ὑπ' ἀρότρῳ ζεῦξαι Διόνυσον πρῶτον, καὶ ἀροτῆρας ἀντὶ νομάδων ποιῆσαι Ἰνδῶν τοὺς πολλοὺς καὶ ὁπλίσαι ὅπλοισι τοῖσιν ἀρηΐοισι. Καὶ θεοὺς σέβειν ὅτι ἐδίδαξε Διόνυσος ἄλλους τε καὶ μάλιστα δὴ ἑωυτὸν κυμβαλίζοντας καὶ τυμπανίζοντας· καὶ ὄρχησιν δὲ ἐκδιδάξαι τὴν σατυρικὴν, τὸν κόρδακα παρ' Ἕλλησι καλεόμενον· καὶ κομᾶν Ἰνδοὺς τῷ θεῷ, μιτρηφορέειν τε ἀναδεῖξαι καὶ μύρων ἀλοιφὰς ἐκδιδάξαι, ὥστε καὶ εἰς Ἀλέξανδρον ἔτι ὑπὸ κυμβάλων τε καὶ τυμπάνων ἐς τὰς μάχας Ἰνδοὶ καθίσταντο.

C. 8. Ἀπιόντα δὲ ἐκ τῆς Ἰνδῶν γῆς, ὡς οἱ ταῦτα κεκοσμέατο, καταστῆσαι βασιλέα τῆς χώρης Σπατέμβαν, τῶν ἑταίρων ἕνα τὸν βακχωδέστατον· τελευτήσαντος δὲ Σπατέμβα τὴν βασιληΐην ἐκδέξασθαι Βουδύαν τὸν τούτου παῖδα· καὶ τὸν μὲν πεντήκοντα καὶ δύο ἔτεα βασιλεῦσαι Ἰνδῶν, τὸν πατέρα· τὸν δὲ παῖδα εἴκοσιν ἔτεα· καὶ τούτου παῖδα ἐκδέξασθαι τὴν βασιληΐην Κραδεύαν· καὶ τὸ ἀπὸ τοῦδε τὸ πολὺ μὲν κατὰ γένος ἀμείβειν τὴν βασιληΐην, παῖδα παρὰ πατρὸς ἐκδεκόμενον· εἰ δὲ ἐκλείποι τὸ γένος, οὕτω δὴ ἀριστίνδην καθίστασθαι Ἰνδοῖσι βασιλέας.

Ἡρακλέα δὲ, ὅντινα ἐς Ἰνδοὺς ἀφικέσθαι λόγος κατέχει, παρ' αὐτοῖσιν Ἰνδοῖσι γηγενέα λέγεσθαι. Τοῦτον τὸν Ἡρακλέα μάλιστα πρὸς Σουρασηνῶν γεραίρεσθαι Ἰνδικοῦ ἔθνεος, ἵνα δύο πόλιες μεγάλαι Μέθορά τε καὶ Κλεισόβορα, καὶ ποταμὸς Ἰωβάρης πλωτὸς διαρρέει τὴν χώρην αὐτῶν. Τὴν σκευὴν δὲ οὗτος ὁ Ἡρακλέης ἥντινα ἐφόρεε, Μεγασθένης λέγει ὅτι ὁμοίην τῷ Θηβαίῳ Ἡρακλεῖ, ὡς αὐτοὶ Ἰνδοὶ ἀπηγέονται· καὶ τούτῳ ἄρσενας μὲν παῖδας πολλοὺς κάρτα γενέσθαι ἐν τῇ Ἰνδῶν γῇ, (πολλῇσι γὰρ δὴ γυναιξὶν ἐς γάμον ἐλθεῖν καὶ τοῦτον τὸν Ἡρακλέα,) θυγατέρα δὲ μουνογενέην· οὔνομα δὲ εἶναι τῇ παιδὶ Πανδαίην, καὶ τὴν χώρην ἵνα τε ἐγένετο καὶ ἧστινος ἐπέτρεψεν αὐτὴν ἄρχειν Ἡρακλέης, Πανδαίην, τῆς παιδὸς ἐπώνυμον· καὶ ταύτῃ ἐλέφαντας μὲν γενέσθαι ἐκ τοῦ πατρὸς ἐς πεντακοσίους, ἵππον δὲ ἐς τετρακισχιλίην, πεζῶν δὲ ἐς τὰς τρεῖς καὶ δέκα μυριάδας. Καὶ τάδε μετεξέτεροι Ἰνδῶν περὶ Ἡρακλέος λέγουσιν· ἐπελθόντα αὐτὸν πᾶσαν γῆν καὶ θάλασσαν καὶ καθήραντα ὅ τι περ κακὸν κίναδος, ἐξευρεῖν ἐν τῇ θαλάσσῃ κόσμον γυναικήϊον· [ὅντινα καὶ εἰς τοῦτο ἔτι οἵ τε ἐξ Ἰνδῶν τῆς χώρης τὰ ἀγώγιμα παρ' ἡμέας ἀγινέοντες σπουδῇ ὠνεόμενοι ἐκκομίζουσι· καὶ Ἑλλήνων δὲ πάλαι καὶ Ῥωμαίων νῦν ὅσοι πολυκτέανοι καὶ εὐδαίμονες, μέζονι ἔτι σπουδῇ ὠνέονται·]

---

Strabo XV, p. 707 pergit : Τῶν δ' ἀρχόντων οἱ μέν εἰσιν ἀγορανόμοι, οἱ δ' ἀστυνόμοι, οἱ δ' ἐπὶ τῶν στρατιωτῶν· ὧν οἱ μὲν ποταμοὺς ἐξεργάζονται, καὶ ἀναμετροῦσι τὴν γῆν, ὡς ἐν Αἰγύπτῳ, καὶ τὰς κλειστὰς διώρυχας ἀφ' ὧν εἰς τὰς ὀχετείας ταμιεύεται τὸ ὕδωρ, ἐπισκοποῦσιν ὅπως ἐξ ἴσης πᾶσιν ἡ τῶν ὑδάτων παρείη χρῆσις. Οἱ δ' αὐτοὶ καὶ τῶν θηρευτῶν ἐπιμελοῦνται, καὶ τιμῆς καὶ κολάσεως εἰσὶ κύριοι τοῖς ἐπαξίοις· καὶ φορολογοῦσι δὲ, καὶ τὰς τέχνας τὰς περὶ τὴν γῆν ἐπιβλέπουσιν, ὑλοτόμων, τεκτόνων, χαλκέων, μεταλλευτῶν· ὁδοποιοῦσι δὲ, καὶ κατὰ δέκα στάδια στήλην τιθέασι, τὰς ἐκτροπὰς καὶ τὰ διαστήματα δηλοῦσαν. Οἱ δ' ἀστυνόμοι εἰς ἓξ πεντάδας διῄρηνται· καὶ οἱ μὲν τὰ δημιουργικὰ σκοποῦσιν, οἱ δὲ ξενοδοχοῦσιν· καὶ γὰρ καταγωγὰς νέμουσι, καὶ τοῖς βίοις παρακολουθοῦσι, παρέδρους δόντες· καὶ προπέμπουσιν ἢ αὐτοὺς, ἢ τὰ χρήματα τῶν ἀποθανόντων· νοσούντων τε ἐπιμελοῦνται, καὶ ἀποθανόντας θάπτουσι. Τρίτοι δ' εἰσὶν, οἳ τὰς γενέσεις καὶ θανάτους ἐξετάζουσι, πότε καὶ πῶς, τῶν τε φόρων χάριν, καὶ ὅπως μὴ ἀφανεῖς εἶεν αἱ κρείττους καὶ χείρους γοναὶ, καὶ θάνατοι. Τέταρτοι οἱ περὶ τὰς καπηλείας καὶ μεταβολάς· οἷς μέτρων μέλει καὶ τῶν ὡραίων, ὅπως ἀπὸ συσσήμου πωλοῖτο. Οὐκ ἔστι δὲ πλείω τὸν αὐτὸν μεταβάλλεσθαι, πλὴν εἰ διττοὺς ὑποτελοίη φόρους. Πέμπτοι δ' οἱ προεστῶτες τῶν δημιουργουμένων, καὶ πωλοῦντες ταῦτα ἀπὸ συσσήμου, χωρὶς μὲν τὰ καινὰ, χωρὶς δὲ τὰ παλαιά· τῷ μιγνύντι δὲ ζημία. Ἕκτοι δὲ καὶ ὕστατοι οἱ τὰς δεκάτας ἐκλέγοντες τῶν πωλουμένων· θάνατος δὲ τῷ κλέψαντι τὸ τέλος. Ἰδίᾳ μὲν ἕκαστοι ταῦτα, κοινῇ δ' ἐπιμελοῦνται τῶν τε ἰδίων καὶ τῶν πολιτικῶν καὶ τῆς τῶν δημοσίων ἐπισκευῆς τιμῶν τε καὶ ἀγορᾶς καὶ λιμένων, καὶ ἱερῶν.

Μετὰ δὲ τοὺς ἀστυνόμους τρίτη ἐστὶ συναρχία ἡ περὶ τὰ στρατιωτικὰ, καὶ αὕτη ταῖς πεντάσιν ἑξαχῇ διωρισμένη· ὧν τὴν μὲν μετὰ τοῦ ναυάρχου τάττουσι, τὴν δὲ μετὰ τοῦ ἐπὶ τῶν βοϊκῶν ζευγῶν, δι' ὧν ὄργανα κομίζεται καὶ τροφὴ αὐτοῖς τε καὶ τοῖς κτήνεσι καὶ τὰ χρήσιμα τῆς στρατείας. Οὗτοι δὲ καὶ τοὺς διακόνους παρέχουσι τυμπανιστὰς καὶ (τοὺς) κωδωνοφόρους, ἔτι δὲ καὶ ἱπποκόμους καὶ μηχανοποιοὺς καὶ τοὺς τούτων ὑπηρέτας· ἐκπέμπουσί τε πρὸς κώδωνας τοὺς χορτολόγους, τιμῇ καὶ κολάσει τὸ τάχος κατασκευαζόμενοι καὶ τὴν ἀσφάλειαν. Τρίτοι δέ εἰσιν οἱ τῶν πεζῶν ἐπιμελούμενοι· τέταρτοι δ' οἱ τῶν

---

et magistratus et judicia et rerum omnium administratio geritur. Non licet ex alio genere in aliud matrimonio contrahendo transire, aut ab unius generis institutis ad alius descendere; neque simul pluribus se dare tractandis, nisi philosophus quis sit; huic enim ob virtutem conceditur.

36 a.

De magistratibus alii annonæ, alii urbi, alii militibus præsunt. Horum primi curant flumina, alii agrum metiuntur, ut in Ægypto, et clausis aquæ ductibus præsunt, ut ex æquo omnibus aquarum usus suppeditet. Iidem venatorum curam gerunt, et præmii et supplicii pro meritis potestatem habent, et tributa legunt et artes inspiciunt quæ circa terram exercentur, ut eorum qui ligna vel domos vel æs vel metalla operantur. Conficiunt etiam vias et per dena stadia lapidem locant deverticula et distantias indicantem.

Urbani ædiles in sex quinterniones sunt divisi. Nam alii opificia inspiciunt, alii hospitum procurationem gerunt, hospitia iis distribuunt, et vitam eorum observant, et asseclas iis dant, et deducunt vel ipsos vel, si moriantur, opes eorum. Ægrotantium quoque curam habent et mortuos sepeliunt. Tertii sunt qui ortus et obitum civium scrutantur, quando et quomodo evenerint; idque tributorum gratia, et ne boni malive nativitas et mors lateant. Quarti circa cauponas et commercia versantur. Hi mensurarum frugumque curam habent, ut consignata vendantur, neque sinant eundem plura commutare, nisi duplex vectigal persolvat. Quini operibus locandis præsunt, ea obsignata

ἵππων· πέμπτοι δ' ἁρμάτων· ἕκτοι δὲ ἐλεφάντων. Βασιλικοί τε σταθμοὶ καὶ ἵπποις καὶ θηρίοις· βασιλικὸν δὲ καὶ ὁπλοφυλάκιον· παραδίδωσι γὰρ ὁ στρατιώτης τήν τε σκευὴν εἰς τὸ ὁπλοφυλάκιον καὶ τὸν ἵππον εἰς τὸν ἱππῶνα καὶ τὸ θηρίον ὁμοίως. Χρῶνται δ' ἀχαλινώτοις· τὰ δ' ἅρματα ἐν ταῖς ὁδοῖς βόες ἕλκουσιν· οἱ δὲ ἵπποι ἀπὸ φορβιᾶς ἄγονται τοῦ μὴ παρεμπίπρασθαι τὰ σκέλη μηδὲ τὸ πρόθυμον αὐτῶν ὑπὸ τοῖς ἅρμασιν ἀμβλύνεσθαι. Δύο δ' εἰσὶν ἐπὶ τῷ ἅρματι παραβάται πρὸς ἡνιόχῳ· ὁ δὲ τοῦ ἐλέφαντος ἡνίοχος τέταρτος, τρεῖς δ' οἱ ἀπ' αὐτοῦ τοξεύοντες. Sequitur fragm. 22. De ratione qua equos et elephantos Indi regant, pluribus agit Ælianus XIII, 9, qui Megasthenem procul dubio exscripsit : Ἵππον δὲ ἄρα Ἰνδὸν κατασχεῖν καὶ ἀνακροῦσαι προπηδῶντα καὶ ἐκθέοντα οὐ παντὸς ἦν, ἀλλὰ τῶν ἐκ παιδὸς ἱππείαν πεπαιδευμένων. Τοῦτο γὰρ αὐτοῖς ἔστιν ἐν ἔθει, χαλινῷ ἄρχειν αὐτῶν καὶ ῥυθμίζειν αὐτοὺς καὶ ἰθύνειν· κημοῖς δὲ ἄρα κεντρωτοῖς ἀκόλαστόν τε ἔχουσι τὴν γλῶτταν, καὶ τὴν ὑπερῴαν ἀβασάνιστον· ἀναγκάζουσι δὲ αὐτοὺς ὅμως οἵδε οἱ τὴν ἱππείαν σοφισταὶ περικυκλεῖν καὶ περιδινεῖσθαι ἐς ταὐτὸν στρεφομένους, καὶ ἧπερ εἶδον ἀστόμους. Δεῖ δὲ ἄρα τῷ τοῦτο δράσοντι καὶ ῥώμης χειρῶν, καὶ ἐπιστήμης εὖ μάλα ἱππικῆς. Πειρῶνται δὲ οἱ προήκοντες εἰς ἄκρον τῆσδε τῆς σοφίας καὶ ἅρμα οὕτως περικυκλεῖν καὶ περιάγειν· εἴη δ' ἂν ἆθλος οὐκ εὐκαταφρόνητος, ἀδηφάγων ἵππων τέτρωρον περιστρέφειν ῥᾳδίως. Φέρει δὲ τὸ ἅρμα παραβάτας καὶ δύο. Ὁ δὲ στρατιώτης ἐλέφας ἐπὶ τοῦ καλουμένου θωρακίου, ἢ καὶ νὴ Δία τοῦ νώτου γυμνοῦ καὶ ἐλευθέρου, πολεμιστὰς μὲν τρεῖς, παρ' ἑκάτερα βάλλοντας, καὶ τὸν τρίτον κατόπιν· τέταρτον δὲ τὸν τὴν ἅρπην κατέχοντα διὰ χειρῶν, καὶ ἐκείνῃ τὸν θῆρα ἰθύνοντα, ὡς οἴακι ναῦν κυβερνητικὸν ἄνδρα καὶ ἐπιστάτην τῆς νεώς.

37.

Strabo XV, 704 (præcedit fragmenti 36 initium) : Ἵππον δὲ καὶ ἐλέφαντα τρέφειν οὐκ ἔξεστιν ἰδιώτῃ· βασιλικὸν δ' ἑκάτερον νενόμισται τὸ κτῆμα, καὶ εἰσὶν αὐτῶν ἐπιμεληταί.

Θήρα δὲ τῶν θηρίων τούτων τοιάδε. Χωρίον ψιλὸν ὅσον τεττάρων ἢ πέντε σταδίων τάφρῳ περιχαράξαντες βαθείᾳ, γεφυροῦσι τὴν εἴσοδον στενωτάτῃ γεφύρᾳ· εἶτ' εἰσαφιᾶσι θηλείας τὰς ἡμερωτάτας τρεῖς ἢ τέτταρας· αὐτοὶ δ' ἐν καλυβίοις κρυπτοῖς ὑποκάθηνται λοχῶντες· ἡμέρας μὲν οὖν οὐ προσίασιν οἱ ἄγριοι· νύκτωρ δ' ἐφ' ἕνα ποιοῦνται τὴν εἴσοδον· εἰσιόντων δὲ, κλείουσι τὴν εἴσοδον λάθρα· εἶτα τῶν ἡμέρων ἀθλητῶν τοὺς ἀλκιμωτάτους εἰσάγοντες, διαμάχονται πρὸς αὐτοὺς, ἅμα καὶ λιμῷ καταπονοῦντες· ἤδη δὲ καμνόντων οἱ εὐθαρσέστατοι τῶν ἡνιόχων λάθρα καταβαίνοντες, ὑποδύνουσιν ἕκαστος τῇ γαστρὶ τοῦ οἰκείου ὀχήματος· ὁρμώμενος δ' ἐνθένδε, ὑποδύνει τῷ ἀγρίῳ, καὶ σύμποδα δεσμεῖ· γενομένου δὲ τούτου, κελεύουσι τοῖς τιθασοῖς, τύπτειν τοὺς συμποδισθέντας, ἕως ἂν πέσωσιν εἰς τὴν γῆν· πεσόντων δ' ὠμοβοΐνοις ἱμᾶσι προσλαμβάνονται τοὺς αὐχένας αὐτῶν πρὸς τοὺς τῶν τιθασῶν· ἵνα δὲ μὴ σειόμενοι τοὺς ἀναβαίνειν ἐπ' αὐτοὺς ἐπιχειροῦντας ἀποσείοιντο, τοῖς τραχήλοις αὐτῶν ἐμβάλλονται κύκλῳ τομὰς, καὶ κατ' αὐτὰς τοὺς ἱμάντας περιτιθέασιν, ὥσθ' ὑπ' ἀλγηδόνων εἴκειν τοῖς δεσμοῖς, καὶ ἡσυχάζειν· τῶν δ' ἁλόντων ἀπολέξαντες τοὺς πρεσβυτέρους ἢ νεωτέρους τῆς χρείας, τοὺς λοιποὺς ἀπάγουσιν εἰς τοὺς σταθμούς· δήσαντες δὲ τοὺς μὲν πόδας πρὸς ἀλλήλους, τοὺς δὲ αὐχένας

locantes, seorsum nova a veteribus : quæ qui miscuerit, multam persolvit. Sexti et ultimi venditarum rerum decimas exigunt ; et qui vectigali rempublicam defraudarit, capite plectitur. Ac privatim quidem singuli hæc curant, publice vero et privata et civilia et publicam supellectilem et pretia et forum et portus et sacra.

Post urbis præfectos est tertium collegium, quod circa rem militarem versatur, ad eundem modum in quinterniones sex divisum, quorum unum adjungunt classis præfecto; secundum ei, qui bobus præest, quibus instrumenta et cibaria et alia militiæ necessaria portantur. Iidem ministros præbent, qui tympanis et tintinnabulis utuntur, item equisones et machinarum fabros, et horum famulos. Porro pabulatores pabulatum ad tintinnabulum mittunt, præmio et supplicio celeritatem et securitatem eos condocefacientes. Tertii peditum curam habent; quarti equorum, quinti curruum, sexti elephantorum. Equis ac ceteris bestiis regia stabula sunt : est etiam regium armamentarium, in quo arma adservantur. Nam miles armaturam in armamentarium reddit, equum in equile, elephantum in suum item stabulum. His utuntur infrenibus. Currus a bobus in itinere trahuntur; equi capistro ducuntur, ne femora curribus junctorum intertrigine lædantur, neve eorum alacritatem currus hebetent. Currus præter aurigam vectores duos habet, elephas aurigam et tres sagittarios.

37.

Equum et elephantum privato homini alere non licet : utrumque enim regis possessio censetur, suntque harum rerum curatores.

Elephantum autem sic venantur. Locum aliquem ab omni purgatum materia, quattuor aut quinque stadiorum, profunda fossa circumdant. Tum ingressum ponte angustissimo jungunt. Deinde tres quattuorve elephantes feminas de mansuetis immittunt : ipsi in tuguriis occulti insidiantur. Per diem silvestres non accedunt, nocte autem singulatim introeunt : quibus ingressis venatores clam aditum occludunt. Postea nonnullos e cicuribus certatoribus fortissimos introducentes cum iis pugnant, simul etiam fame defatigant. Quum vero jam defessi fuerint, aurigarum audacissimi, clam descendentes et sui quisque elephantis uterum subeuntes, compedes illis injiciunt. Quo facto cicures instigant ut vinctos verberent, quousque in terram cadant. Postquam ceciderunt, bubulis loris eorum colla ad domitorum adstringunt ; et ne adscensores excutere possint, colla circumcidentes, in cæsuris vincula imponunt, ut præ dolore vinculis cedant et quietem agant. De captis seliguntur quicunque vel senio vel juventa inutiles sunt : reliqui in stabula ducuntur, et pedibus invicem vinctis ac collo ad columnam valide infixam fame domantur : deinde

τῶν ὅλων. Οὐκ ἔστι δ' οὔτε γαμεῖν ἐξ ἄλλου γένους, οὔτ' ἐπιτήδευμα οὔτ' ἐργασίαν μεταλαμβάνειν ἄλλην ἐξ ἄλλης, οὐδὲ πλείους μεταχειρίζεσθαι τὸν αὐτόν, πλὴν εἰ τῶν φιλοσόφων τις εἴη· ἐᾶσθαι γὰρ τοῦτον διʼ ἀρετήν.

« Apud Strabonem et Diodorum tribus appellantur μέρη, apud Arrianum γενεαί, ita ut illa voce Megasthenes usus esse videatur. Megasthenes autem quum tribus Indicas enarraret, in eo erravit, quod et Græca ratione et ab aula Pât'alipu-trica hanc rem perlustravit. Sine hac altera causa vix fieri poterat, ut sextam et septimam tribum in istum modum componeret. Sed Megasthenis tribus ad Indicas quattuor revocare facillimum est. Ita enim cum alteris alteræ congruunt :

*Prima* tribus Brahmanas continet, neque tamen omnes, sed eos tantum, qui sacris præsunt. Cui tribui Megasthenem ascetas falso addidisse, apparet ex hoc Arriani loco : Μοῦνον σφίσιν ἀνεῖται, σοφιστὴν ἐκ παντὸς γένεος γενέσθαι. Ind. 12, 9. Cf. Strab. p. 713. *Altera* tribus Vâiçjarum partem agrum colentem, *tertia* impuros quosdam continet. Man. X. 48—49. *Quarta* homines duarum tribuum comprehendit, et Vâiçjas (φόρον τελοῦντας) et Çudras (ἀτελεῖς καὶ μισθὸν προσλαμβάνοντας). *Quinta* tribus cum Indica altera convenit. In *sexta* iterum duarum tribuum partes commixtæ sunt, et vulgares spectatores, quos regem Indica lex ex omni tribu colligere jubet (cf. Man. VII, 154, et Cullucab'at't'æ commentarium), et eos, qui ad officiales inspiciendos emittebantur. Ad hanc alteram partem solam pertinere possunt hæc Strabonis verba : καθίστανται δ' οἱ ἄριστοι καὶ πιστότατοι. *Septimam* tribum Brahmanæ ii efficiunt, quos in prima tribu collocare Megasthenes omisit. » *Schwanbeckius.*

36 a.

Strabo XV, p. 707 pergit : Τῶν δ' ἀρχόντων οἱ μέν εἰσιν ἀγορανόμοι, οἱ δ' ἀστυνόμοι, οἱ δ' ἐπὶ τῶν στρατιωτῶν· ὧν οἱ μὲν ποταμοὺς ἐξεργάζονται, καὶ ἀναμετροῦσι τὴν γῆν, ὡς ἐν Αἰγύπτῳ, καὶ τὰς κλειστὰς διώρυχας ἀφ' ὧν εἰς τὰς ὀχετείας ταμιεύεται τὸ ὕδωρ, ἐπισκοποῦσιν ὅπως ἐξ ἴσης πᾶσιν ἡ τῶν ὑδάτων παρείη χρῆσις. Οἱ δ' αὐτοὶ καὶ τῶν θηρευτῶν ἐπιμελοῦνται, καὶ τιμῆς καὶ κολάσεως εἰσὶ κύριοι τοῖς ἐπαξίοις· καὶ φορολογοῦσι δέ, καὶ τὰς τέχνας τὰς περὶ τὴν γῆν ἐπιβλέπουσιν, ὑλοτόμων, τεκτόνων, χαλκέων, μεταλλευτῶν· ὁδοποιοῦσι δέ, καὶ κατὰ δέκα στάδια στήλην τιθέασι, τὰς ἐκτροπὰς καὶ τὰ διαστήματα δηλοῦσαν. Οἱ δ' ἀστυνόμοι εἰς ἓξ πεντάδας διῄρηνται· καὶ οἱ μὲν τὰ δημιουργικὰ σκοποῦσιν, οἱ δὲ ξενοδοχοῦσιν· καὶ γὰρ καταγωγὰς νέμουσι, καὶ τοῖς βίοις παρακολουθοῦσι, παρέδρους δόντες· καὶ προπέμπουσιν ἢ αὐτούς, ἢ τὰ χρήματα τῶν ἀποθανόντων· νοσούντων τε ἐπιμελοῦνται, καὶ ἀποθανόντας θάπτουσι. Τρίτοι δ' εἰσίν, οἳ τὰς γενέσεις καὶ θανάτους ἐξετάζουσι, πότε καὶ πῶς, τῶν τε φόρων χάριν, καὶ ὅπως μὴ ἀφανεῖς εἶεν αἱ κρείττους καὶ χείρους γοναί, καὶ θάνατοι. Τέταρτοι οἱ περὶ τὰς καπηλείας καὶ μεταβολάς· οἷς μέτρων μέλει καὶ τῶν ὡραίων, ὅπως ἀπὸ συσσήμου πωλοῖτο. Οὐκ ἔστι δὲ πλείω τὸν αὐτὸν μεταβάλλεσθαι, πλὴν εἰ διττοὺς ὑποτελοίη φόρους. Πέμπτοι δ' οἱ προεστῶτες τῶν δημιουργουμένων, καὶ πωλοῦντες ταῦτα ἀπὸ συσσήμου, χωρὶς μὲν τὰ καινά, χωρὶς δὲ τὰ παλαιά· τῷ μιγνύντι δὲ ζημία. Ἕκτοι δὲ καὶ ὕστατοι οἱ τὰς δεκάτας ἐκλέγοντες τῶν πωλουμένων· θάνατος δὲ τῷ κλέψαντι τὸ τέλος. Ἰδίᾳ μὲν ἕκαστοι ταῦτα, κοινῇ δ' ἐπιμελοῦνται τῶν τε ἰδίων καὶ τῶν πολιτικῶν καὶ τῆς τῶν δημοσίων ἐπισκευῆς τιμῶν τε καὶ ἀγορᾶς καὶ λιμένων, καὶ ἱερῶν.

Μετὰ δὲ τοὺς ἀστυνόμους τρίτη ἐστὶ συναρχία ἡ περὶ τὰ στρατιωτικά, καὶ αὕτη ταῖς πεντάσιν ἑξαχῇ διωρισμένη· ὧν τὴν μὲν μετὰ τοῦ ναυάρχου τάττουσι, τὴν δὲ μετὰ τοῦ ἐπὶ τῶν βοϊκῶν ζευγῶν, δι' ὧν ὄργανα κομίζεται καὶ τροφὴ αὐτοῖς τε καὶ τοῖς κτήνεσι καὶ τὰ χρήσιμα τῆς στρατείας. Οὗτοι δὲ καὶ τοὺς διακόνους παρέχουσι τυμπανιστὰς καὶ (τοὺς) κωδωνοφόρους, ἔτι δὲ καὶ ἱπποκόμους καὶ μηχανοποιοὺς καὶ τοὺς τούτων ὑπηρέτας· ἐκπέμπουσί τε πρὸς κώδωνας τοὺς χορτολόγους, τιμῇ καὶ κολάσει τὸ τάχος κατασκευαζόμενοι καὶ τὴν ἀσφάλειαν. Τρίτοι δέ εἰσιν οἱ τῶν πεζῶν ἐπιμελούμενοι· τέταρτοι δ' οἱ τῶν

---

et magistratus et judicia et rerum omnium administratio geritur. Non licet ex alio genere in aliud matrimonio contrahendo transire, aut ab unius generis institutis ad alius descendere; neque simul pluribus se dare tractandis, nisi philosophus quis sit; huic enim ob virtutem conceditur.

36. a.

De magistratibus alii annonæ, alii urbi, alii militibus præsunt. Horum primi curant flumina, alii agrum metiuntur, ut in Ægypto, et clausis aquæ ductibus præsunt, ut ex æquo omnibus aquarum usus suppeditet. Iidem venatorum curam gerunt, et præmii et supplicii pro meritis potestatem habent, et tributa legunt et artes inspiciunt quæ circa terram exercentur, ut eorum qui ligna vel domos vel æs vel metalla operantur. Conficiunt etiam vias et per dena stadia lapidem locant deverticula et distantias indicantem.

Urbani ædiles in sex quinterniones sunt divisi. Nam alii opificia inspiciunt, alii hospitum procurationem gerunt, hospitia iis distribuunt, et vitam eorum observant, et asseclas iis dant, et deducunt vel ipsos vel, si moriantur, opes eorum. Ægrotantium quoque curam habent et mortuos sepeliunt. Tertii sunt qui ortus et obitum civium scrutantur, quando et quomodo evenerint; idque tributorum gratia, et ne boni malive nativitas et mors lateant. Quarti circa caupones et commercia versantur. Hi mensurarum frugumque curam habent, ut consignata vendantur, neque sinant eundem plura commutare, nisi duplex vectigal persolvat. Quinti operibus locandis præsunt, ea obsignata

πρὸς χίονα εὖ πεπηγότα, δαμάζουσι λιμῷ· ἔπειτα χλόη καλάμου καὶ πόας ἀναλαμβάνουσι· μετὰ δὲ ταῦτα πειθαρχεῖν διδάσκουσι, τοὺς μὲν διὰ λόγου, τοὺς δὲ μελισμῷ τινι καὶ τυμπανισμῷ κηλοῦντες· σπάνιοι δ' οἱ δυστιθάσευτοι· φύσει γὰρ διάκεινται πρᾴως καὶ ἡμέρως, ὥστ' ἐγγὺς εἶναι λογικῷ ζώῳ· τινὲς γὰρ καὶ ἐξαίμους τοὺς ἡνιόχους ἐν τοῖς ἀγῶσι πεσόντας ἀνελόμενοι σώζουσιν ἐκ τῆς μάχης· οἱ δὲ καὶ ὑποδύντας μεταξὺ τῶν ἐμπροσθίων ποδῶν ὑπερμαχόμενοι διέσωσαν· τῶν δὲ χορτοφόρων καὶ διδασκάλων εἴ τινα παρὰ θυμὸν ἀπέκτειναν, οὕτως ἐπιποθοῦσιν, ὥσθ' ὑπ' ἀνίας ἀπέχεσθαι τροφῆς· ἔστι δ' ὅτε καὶ ἀποκαρτερεῖν.

Βιβάζονται δὲ καὶ τίκτουσιν ὡς ἵπποι τοῦ ἔαρος μάλιστα· καιρὸς δ' ἐστὶ τῷ μὲν ἄρρενι, ἐπειδὰν οἴστρῳ κατέχηται καὶ ἀγριαίνῃ· τότε δὴ καὶ λίπους τι διὰ τῆς ἀναπνοῆς ἀνίησιν, ἣν ἔχει παρὰ τοὺς κροτάφους· ταῖς δὲ θηλείαις, ὅταν ὁ αὐτὸς οὗτος πόρος ἀνεωγὼς τυγχάνῃ. Κύουσι δὲ τοὺς μὲν πλείστους ὀκτωκαίδεκα μῆνας, ἐλαχίστους δ' ἑκκαίδεκα· τρέφει δ' ἡ μήτηρ ἓξ ἔτη. Ζῶσι δ' ὅσον μακροβιώτατοι ἄνθρωποι οἱ πολλοί, τινὲς δὲ καὶ ἐπὶ διακόσια διατείνουσιν ἔτη, πολύνοσοι δὲ καὶ δυσίατοι. Ἄκος δὲ πρὸς ὀφθαλμίαν μὲν βόειον γάλα προσκλυζόμενον, τοῖς πλείστοις δὲ τῶν νοσημάτων ὁ μέλας οἶνος πινόμενος, τραύμασι δὲ ποτὸν μὲν βούτυρον, ἐξάγει γὰρ τὰ σιδήρια· τὰ δ' ἕλκη σαρξὶν ὑείαις πυριῶσιν.

### 38.

Arrianus Ind. c. 13 (antecedit fr. 35) : Θηρῶσι δὲ Ἰνδοὶ τὰ μὲν ἄλλα ἄγρια θηρία, κατάπερ καὶ Ἕλληνες· ἡ δὲ τῶν ἐλεφάντων σφὶν θήρη οὐδέν τι ἄλλῃ ἔοικεν, ὅτι καὶ ταῦτα τὰ θηρία οὐδαμοῖσιν ἄλλοισι θηρίοισιν ἐπέοικεν. (2) Ἀλλὰ τόπον γὰρ ἐπιλεξάμενοι ἄπεδον καὶ καυματώδεα ἐν κύκλῳ τάφρον ὀρύσσουσιν, ὅσον μεγάλῳ στρατοπέδῳ ἐπαυλίσασθαι. Τῆς δὲ τάφρου τὸ εὖρος ἐς πέντε ὀργυιὰς ποιέονται, βάθος τε ἐς τέσσαρας. (3) Τὸν δὲ χόον ὅντινα ἐκβάλλουσιν ἐκ τοῦ ὀρύγματος, ἐπὶ τὰ χείλεα ἑκάτερα τῆς τάφρου ἐπιφορήσαντες, ἀντὶ τείχεος διαχρέονται· (4) αὐτοὶ δὲ ἐπὶ τῷ χώματι τοῦ ἐπιχειλέος τοῦ ἔξω τῆς τάφρου σκηνάς σφιν ὀρυκτὰς ποιέονται, καὶ διὰ τουτέων ὀπὰς ὑπολείπονται· δι' ὧν φῶς τε αὐτοῖσι συνεισέρχεται καὶ τὰ θηρία προσάγοντα καὶ ἐσελαύνοντα ἐς τὸ ἕρκος σκέπτονται. (5) Ἐνταῦθα ἐντὸς τοῦ ἕρκεος καταστήσαντες τῶν τινας θηλέων τρεῖς ἢ τέσσαρας, ὅσαι μάλιστα τὸν θυμὸν χειροήθεες, μίαν εἴσοδον ἀπολιμπάνουσι κατὰ τὴν τάφρον, γεφυρώσαντες τὴν τάφρον· καὶ ταύτῃ χόον τε καὶ ποίην πολλὴν ἐπιφέρουσι τοῦ μὴ ἀρίδηλον εἶναι τοῖσι θηρίοισι τὴν γέφυραν, μή τινα δόλον δισθῶσιν. (6) Αὐτοὶ μὲν οὖν ἐκποδὼν σφᾶς ἔχουσι κατὰ τῶν σκηνέων τῶν ὑπὸ τῇ τάφρῳ δεδυκότες. Οἱ δὲ ἄγριοι ἐλέφαντες ἡμέρης μὲν οὐ πελάζουσι τοῖσιν οἰκεομένοισι, νύκτωρ δὲ πλανῶνταί τε πάντῃ καὶ ἀγεληδὸν νέμονται τῷ μεγίστῳ καὶ γενναιοτάτῳ σφῶν ἑπόμενοι, κατάπερ αἱ βόες τοῖσι ταύροισιν. (7) Ἐπεὰν ὦν τῷ ἕρκεϊ πελάσωσι, τήν τε φωνὴν ἀκούοντες τῶν θηλέων καὶ τῇ ὀδμῇ αἰσθανόμενοι, δρόμῳ ἵενται ὡς ἐπὶ τὸν χῶρον τὸν πεφραγμένον· ἐκπεριελθόντες δὲ τῆς τάφρου τὰ χείλεα εὖτ' ἂν τῇ γεφύρῃ ἐπιτύχωσι, κατὰ ταύτην ἐς τὸ ἕρκος ὠθέονται. (8) Οἱ δὲ ἄνθρωποι αἰσθόμενοι τὴν ἔσοδον τῶν ἐλεφάντων τῶν ἀγρίων, οἱ

herba vel arundine viridi reficiuntur, post cicurantur alii oratione, alii cantu aliquo vel tympani sonitu deliniti. Rari sunt qui non facile mansuescant : sunt enim a natura mites et mansueti, et ad animantia ratione prædita proxime accedunt. Quidam aurigas suas, qui in certamine ceciderunt e prælio efferunt; alii eos qui per anteriores pedes uterum subierunt, propugnando servarunt. Quodsi quem e curatoribus vel magistris per iram interfecerint, adeo illum desiderant, ut præ mœrore a cibo abstineant, interdum etiam media sibi mortem consciscant.

Elephanti coeunt et pariunt, ut equi, plurimum vere. Mari coitus tempestivus est, ubi œstro correptus sævire occipit; tunc etiam pingue quiddam emittit per spiramentum, quod ei secundum tempora est : feminæ, quum hic idem meatus apertus fuerit. Edunt partum, quum tardissime, mense a conceptu decimo octavo, quum celerrime, sub sextum et decimum. Sex annos a matre nutriuntur. Vivunt plerique quantum longævissimi homines, quidam etiam ad ducentesimum perveniunt annum. Alioqui morbis obnoxii sunt et quidem curatu difficilibus. Vitiis oculorum remedio est, vaccæ lacte si perluantur; plurimos morbos vinum nigrum epotum curat. Vulneribus butyrum potum auxiliatur (ferrum enim ejicit); ulcera suillis carnibus foventur.

### 38.

Venantur Indi reliquas feras quo Græci modo; at elephantorum apud eos venatio nihil prorsus alii venandi modo similis est, siquidem et hæ feræ nullis similes sunt. (2) Deligunt venatores locum planum et apricum, magni exercitus capacem, in cujus circuitu fossam ducunt. Fossæ latitudo ad quinque orgyias habet, altitudo circiter quattuor. (3) Terram, quam fodiendo eruunt, utrimque ad labra fossæ congerunt, eaque pro muro utuntur. (4) Ipsi autem in exterioris labri aggere tentoria sibi fossilia faciunt, et foramina in iis, per quæ lucem admittant, relinquunt : ipsique ex iis feras appropinquantes atque in septum ingredientes prospectant. (5) Tunc tres aut quattuor elephantos feminei sexus ex mansuetissimis septo includentes, unum per fossam aditum relinquunt, fossa ponte juncta, quem multa terra et multo cespite sternunt, ne conspici a feris pons, et dolus sentiri possit. (6) Venatores autem remoti sese in cavernis pone fossam continent. Nam feri elephanti loca habitata interdiu non adeunt; noctu vero passim errantes gregatim pascuntur, eumque ducem sequuntur qui et maximus est et generosissimus : non aliter ac tauros vaccæ sequi cernuntur. (7) Postquam septis propiores facti feminarum vocem audierunt, easque per odoratum cognovere, cursu feruntur ad septa, et fossæ labra circumeuntes quum ad pontem pervenerint, per eum in septa ruunt. (8) Venatores ubi ingressos feros elephantos sentiunt, alii continuo pontem subtrahunt, alii proximos pagos petentes elephantos septo inclusos esse nuntiant. (9) Quo cognito populares confestim elephantos animosissimos ac mansuetissimos

μεν αὐτῶν τὴν γέφυραν ὀξέως ἀφεῖλον, οἱ δὲ ἐπὶ τὰς πέλας κώμας ἀποδραμόντες ἀγγέλλουσι τοὺς ἐλέφαντας ὅτι ἐν τῷ ἕρκεϊ ἔχονται· (9) οἱ δὲ ἀκούσαντες ἐπιβαίνουσι τῶν κρατίστων τε τὸν θυμὸν καὶ τῶν χειροηθεστάτων ἐλεφάντων, ἐπιβάντες δὲ ἐλαύνουσιν ὡς ἐπὶ τὸ ἕρκος, ἐλάσαντες δὲ οὐκ αὐτίκα μάχης ἅπτονται, ἀλλ' ἐῶσι γὰρ λιμῷ τε ταλαιπωρηθῆναι τοὺς ἀγρίους ἐλέφαντας καὶ ὑπὸ τῷ δίψεϊ δουλωθῆναι. (10) Εὖτ' ἂν δὲ σφίσι κακῶς ἔχειν δοκέωσι, τηνικαῦτα ἐπιστήσαντες αὖθις τὴν γέφυραν ἐλαύνουσί τε ὡς ἐς τὸ ἕρκος, καὶ τὰ μὲν πρῶτα μάχη ἵσταται κρατερὴ τοῖσιν ἡμέροισι τῶν ἐλεφάντων πρὸς τοὺς ἑαλωκότας· ἔπειτα κρατέονται μὲν κατὰ τὸ εἰκὸς οἱ ἄγριοι ὑπό τε τῇ ἀθυμίῃ καὶ τῷ λιμῷ ταλαιπωρεύμενοι. (11) Οἱ δὲ ἀπὸ τῶν ἐλεφάντων καταβάντες παρειμένοισιν ἤδη τοῖσιν ἀγρίοισι τοὺς πόδας ἄκρους συνδέουσιν· ἔπειτα ἐγκελεύονται τοῖσιν ἡμέροισι πληγῇσι σφᾶς κολάζειν πολλῇσι, ἔστ' ἂν ἐκεῖνοι ταλαιπωρεύμενοι ἐς γῆν πέσωσι· παραστάντες δὲ βρόχους περιβάλλουσιν αὐτοῖσι κατὰ τοὺς αὐχένας, καὶ αὐτοὶ ἐπιβαίνουσι κειμένοισι. (12) Τοῦ δὲ μὴ ἀποσείεσθαι τοὺς ἀμβάτας μηδέ τι ἄλλο ἀτάσθαλον ἐργάζεσθαι, τὸν τράχηλον αὐτοῖσιν ἐν κύκλῳ μαχαιρίῳ ὀξέϊ ἐπιτέμνουσι, καὶ τὸν βρόχον κατὰ τὴν τομὴν περιδέουσιν, ὡς ἀτρέμα ἔχειν τὴν κεφαλήν τε καὶ τὸν τράχηλον ὑπὸ τοῦ ἕλκεος. (13) Εἰ γὰρ περιστρέφοιντο ὑπὸ ἀτασθαλίης, τρίβεται αὐτοῖσι τὸ ἕλκος ὑπὸ τῷ κάλῳ· οὕτω μὲν ὦν ἀτρέμα ἴσχουσι, καὶ αὐτοὶ γνωσιμαχέοντες ἤδη ἄγονται κατὰ τὸν δεσμὸν πρὸς τῶν ἡμέρων.

Cap. XIV. Ὅσοι δὲ νήπιοι αὐτῶν ἢ διὰ κακότητα οὐκ ἄξιοι ἐκτῆσθαι, τούτους ἐῶσιν ἀπαλλάττεσθαι ἐς τὰ σφέτερα ἤθεα. (2) Ἄγοντες δὲ εἰς τὰς κώμας τοὺς ἁλόντας τοῦ τε χλωροῦ καλάμου καὶ τῆς ποίης τὰ πρῶτα ἐμφαγεῖν ἔδοσαν· (3) οἱ δὲ ὑπὸ ἀθυμίης οὐκ ἐθέλουσιν οὐδὲν σιτέεσθαι, τοὺς δὲ περιϊστάμενοι οἱ Ἰνδοὶ ᾠδῇσί τε καὶ τυμπάνοισι καὶ κυμβάλοισιν ἐν κύκλῳ κρούοντές τε καὶ ἐπᾴδοντες κατευνάζουσι. (4) Θυμόσοφον γὰρ εἴπερ τι ἄλλο θηρίον ὁ ἐλέφας· καί τινες ἤδη αὐτῶν τοὺς ἀμβάτας σφῶν ἐν πολέμῳ ἀποθανόντας ἄραντες αὐτοὶ ἐξήνεγκαν ἐς ταφὴν, οἱ δὲ καὶ ὑπερήσπισαν κειμένους, οἱ δὲ καὶ πεσόντων προεκινδύνευσαν· ὁ δέ τις πρὸς ὀργὴν ἀποκτείνας τὸν ἀμβάτην ὑπὸ μετανοίης τε καὶ ἀθυμίης ἀπέθανεν. (5) [Εἶδον δὲ ἔγωγε καὶ κυμβαλίζοντα ἤδη ἐλέφαντα καὶ ἄλλους ὀρχεομένους, κυμβάλοιν τῷ κυμβαλίζοντι πρὸς τοῖν σκελοῖν τοῖν ἔμπροσθεν προσηρτημένοιν, καὶ πρὸς τῇ προβοσκίδι καλεομένῃ ἄλλο κύμβαλον· (6) ὁ δὲ ἐν μέρεϊ τῇ προβοσκίδι ἔκρουε τὸ κύμβαλον ἐν ῥυθμῷ πρὸς ἑκατέροιν τοῖν σκελοῖν· οἱ δὲ ὀρχεόμενοι ἐν κύκλῳ τε ἐχόρευον, καὶ ἐπαίροντές τε καὶ ἐπικάμπτοντες τὰ ἔμπροσθεν σκέλεα ἐν τῷ μέρεϊ ἐν ῥυθμῷ καὶ οὗτοι ἔβαινον, κατότι ὁ κυμβαλίζων σφίσιν ὑφηγέετο]. (7) Βαίνεται δὲ ἐλέφας ἦρος ὥρῃ, κατάπερ βοῦς ἢ ἵππος, ἐπεὰν τῇσι θηλέῃσιν αἱ παρὰ τοῖσι κροτάφοισιν ἀναπνοαὶ ἀνοιχθεῖσαι ἐκπνέωσι· κύει δὲ τοὺς ἐλαχίστους μὲν ἑκκαίδεκα μῆνας, τοὺς πλείστους δὲ ὀκτωκαίδεκα· τίκτει δὲ ἕν, κατάπερ ἵππος· καὶ τοῦτο ἐκτρέφει τῷ γάλακτι ἐς ἔτος ὄγδοον. (8) Ζῶσι δὲ ἐλεφάντων οἱ πλεῖστα ἔτεα ζῶντες ἐς διηκόσια· πολλοὶ δὲ νούσῳ προτελευτῶσιν· γήραϊ δὲ ἐς τόσον ἔρχονται. (9) Καὶ ἔστιν αὐτοῖσι τῶν μὲν ὀφθαλμῶν ἴημα τὸ βόειον γάλα ἐγχεόμενον, πρὸς δὲ τὰς ἄλλας νούσους ὁ μέλας οἶνος πινόμενος, ἐπὶ δὲ τοῖσιν ἕλκεσι τὰ ὕεια κρέα ὀπτώμενα καὶ καταπασσόμενα. Ταῦτα παρ' Ἰνδοῖσίν ἐστιν αὐτοῖσιν ἰήματα.

De ratione qua musica elephantos Indi demul-

---

conscendunt, atque ad septum accedunt. Nec tamen primo statim adventu cum agrestibus elephantis pugnam aggrediuntur, sed illos aliquamdiu fame macerari ac siti domari sinunt: (10) quumque jam languidiores factos vident, rursus immisso ponte septa ingrediuntur. Et primo quidem acre certamen fit inter domitos elephantos et feros captos: tandem superantur, ut par est, feri, languore et fame pressi. (11) Tum sessores ex elephantis in terram demissi languidis jam feris elephantis summos pedes colligant; dehinc domitis elephantis imperant, ut feros multis plagis castigent, donec verberibus defatigati in terram procidant. Tunc adstantes cervicibus eorum laqueos aptant, et ipsi prostratos inscendunt. (12) Ne vero sessores excutiant, neve aliud damni inferant, colla acuto gladiolo in circuitum præscindunt, vulnusque laqueo circumligant, ut præ ulcere et collum et caput immotum teneant. Si enim pervicaciter reluctentur, ab fune ulcus teritur. Atque ita tandem quiete se habent, et victos sese agnoscentes ex vinculo ab domitis ducuntur.

XIV. Qui vero eorum immaturæ ætatis aut propter malam corporis constitutionem digni non sunt, qui possideantur, eos abire in loca ipsis consueta permittunt. (2) Ceteros captos in pagos ducunt, ac primum eos gramine et viridibus culmis pascunt. (3) Illi vero præ mœrore prorsus vesci nolunt. Indi autem circumstantes tympanorum ac cymbalorum pulsu cantuque eos exhilarant ac demulcent. (4) Intelligens enim, si quæ alia fera, est elephas. Et quidem nonnulli rectores suos in bello cæsos sublatos ad sepulturam detulerunt: alii jacentes propugnarunt: alii pro sessoribus lapsis neci sese objecerunt; quidam quum per iram rectorem suum occidissent, pœnitentia et mœrore se confecerunt. (5) Vidi ego aliquando elephantum cymbalum pulsantem aliis saltantibus, duobus cymbalis ad anteriora crura appensis, alioque ad proboscidem alligato. (6) Ipse alternatim proboscide cymbalum in numerum ad utrumque crus pulsabat: reliqui in gyrum choreas ducebant, sublatis flexisque prioribus cruribus vicissim in numerum etiam procedebant, prout is, qui cymbalum pulsabat, sono præibat. (7) Elephas venerem appetit verno tempore, quemadmodum bos aut equa, quum feminis spiracula quædam circa tempora adaperta exspirant; fertque in utero fœtum minimum XVI menses, summum XVIII. Parit autem elephas unicum, sicut equa: atque hunc lacte suo in octavum usque annum nutrit. (8) Vivunt elephanti, qui plurimum, annos CC; multi vero ante hoc tempus morbo intereunt. Senectute vero ad hanc ætatem pertingunt. (9) Oculorum ægritudini remedium iis est lac bubulum infusum: reliquis morbis vinum nigrum epotum prodest, ulceribus autem carnes suillæ tostæ atque intritæ vulneribus. Hæc apud Indos morbis eorum remedia sunt.

ceant, et de morbis eorum Ælianus quoque loquitur XII, 44 et XIII, 7. Posteriorem locum e Megasthene petitum esse non est dubium, præsertim quum in iis quæ proxime antecedunt ipse Ælianus auctorem suum nominaverit. Alterum locum minus certo, probabiliter tamen ad Megasthenem referas. Utrumque exscribam.

Ælianus N. A. XII, 44 : Ἐν Ἰνδοῖς ἂν ἁλῷ τέλειος ἐλέφας, ἡμερωθῆναι χαλεπός ἐστι, καὶ τὴν ἐλευθερίαν ποθῶν φονᾷ· ἐὰν δὲ αὐτὸν καὶ δεσμοῖς διαλάβῃς, ἔτι καὶ μᾶλλον ἐς τὸν θυμὸν ἐξάπτεται, καὶ δεσπότην οὐχ ὑπομένει. Ἀλλ' οἱ Ἰνδοὶ καὶ ταῖς τροφαῖς κολακεύουσιν αὐτὸν, καὶ ποικίλοις καὶ ἐφολκοῖς δελέασι πραΰνειν πειρῶνται, παρατιθέντες, ὡς πληροῦν τὴν γαστέρα καὶ θέλγειν τὸν θυμόν· ὁ δὲ ἄχθεται αὐτοῖς, καὶ ὑπεροφᾷ. Τί οὖν ἐκεῖνοι κατασοφίζονται καὶ δρῶσι; Μοῦσαν αὐτοῖς προσάγουσιν ἐπιχώριον, καὶ κατᾴδουσιν αὐτοὺς ὀργάνῳ τινὶ καὶ τούτῳ συνήθει· καλεῖται δὲ σκινδαψὸς τὸ ὄργανον· ὁ δὲ ὑπέχει τὰ ὦτα καὶ θέλγεται, καὶ ἡ μὲν ὀργὴ πραΰνεται, ὁ δὲ θυμὸς ὑποστέλλεταί τε καὶ θρύπτεται, κατὰ μικρὰ δὲ καὶ ἐς τὴν τροφὴν ὁρᾷ· εἶτα ἀφεῖται μὲν τῶν δεσμῶν, μένει δὲ τῇ μούσῃ δεδεμένος, καὶ δειπνεῖ προθύμως ἁβρὸς δαιτυμὼν καταδεδεμένος· πόθῳ γὰρ τοῦ μέλους οὐκ ἂν ἔτι ἀποσταίη.

Idem XIII, 6 : Τῶν τεθηραμένων ἐλεφάντων ἰῶνται τὰ τραύματα οἱ Ἰνδοὶ τὸν τρόπον τοῦτον. Καταιονοῦσι μὲν αὐτὰ ὕδατι χλιαρῷ, ὥσπερ οὖν τὸ τοῦ Εὐρυπύλου παρὰ τῷ καλῷ Ὁμήρῳ ὁ Πάτροκλος· εἶτα μέντοι διαχρίουσι τῷ βουτύρῳ αὐτά· ἐὰν δὲ ᾖ βαθεῖα, τὴν φλεγμονὴν πραΰνουσιν, ὕεια κρέα, θερμὰ μὲν, ἔναιμα δὲ ἔτι, προσφέροντες καὶ ἐντιθέντες. Τὰς δὲ ὀφθαλμίας θεραπεύουσιν αὐτῶν, βόειον γάλα ἀλεαίνοντες, εἶτα αὐτοῖς ἐγχέοντες· οἱ δὲ ἀνοίγουσι τὰ βλέφαρα καὶ ὠφελούμενοι ἥδονταί τε καὶ αἰσθάνονται ὥσπερ ἄνθρωποι· καὶ εἰς τοσοῦτον ἐπικλύζουσιν, εἰς ὅσον ἂν ὑποπαύσωνται λημῶντες· μαρτύριον δὲ τοῦ παύσασθαι τὴν ὀφθαλμίαν τοῦτό ἐστι. Τὰ δὲ νοσήματα ὅσα αὐτοῖς προσπίπτει ἄλλως, ὁ μέλας οἶνός ἐστιν αὐτοῖς ἄκος· εἰ δὲ μὴ γένοιτο ἐξάντης τοῦ κακοῦ τῷ φαρμάκῳ τῷδε, ἄσωστά οἱ ἐστιν. Etiam ea quæ Ælianus XIII, 8 de elephantum indole et vivendi ratione, et III, 46 de elephanto albo narrat e Megasthene petita fuerint.

## 39.

Strabo XV, p. 706, de formicis aurum effodientibus : Μεγασθένης δὲ περὶ τῶν μυρμήκων οὕτω φησὶν, ὅτι ἐν Δέρδαις, ἔθνει μεγάλῳ τῶν προσεῴων καὶ ὀρεινῶν Ἰνδῶν, ὀροπέδιον εἴη τρισχιλίων πως τὸν κύκλον σταδίων· ὑποκειμένων δὲ τούτῳ χρυσωρυχείων, οἱ μεταλλεύοντες εἶεν μύρμηκες, θηρίων ἀλωπέκων οὐκ ἐλάττους, τάχος ὑπερφυὲς ἔχοντες, καὶ ζῶντες ἀπὸ θήρας. Ὀρύττουσι δὲ χειμῶνι τὴν γῆν· σωρεύουσί τε πρὸς τοῖς στομίοις, καθάπερ οἱ ἀσπάλακες· ψῆγμα δ' ἐστὶ χρυσοῦ μικρᾶς ἑψήσεως δεόμενον· τοῦθ' ὑποζυγίοις μετίασιν οἱ πλησιόχωροι λάθρα· φανερῶς γὰρ διαμάχονται, καὶ διώκουσι φεύγοντας· καταλαβόντες δὲ διαχρῶνται καὶ αὐτοὺς καὶ τὰ ὑποζύγια. Πρὸς δὲ τὸ λαθεῖν κρέα θήρεια προστιθέασι κατὰ μέρη· περισπασθέντων δ' ἀναιροῦνται τὸ ψῆγμα, καὶ τῷ τυχόντι τῶν ἐμπόρων ἀργὸν διατίθενται, χωνεύειν οὐκ εἰδότες. Cf. Nearch. fr. 12.

Arrianus Ind. c. 5, 4 : Μεγασθένης δὲ καὶ ἀτρεκέα εἶναι ὑπὲρ τῶν μυρμήκων τὸν λόγον ἱστορέει, τούτους εἶναι τοὺς τὸν χρυσὸν ὀρύσσοντας, οὐκ αὐτοῦ τοῦ χρυσοῦ ἕνεκα, ἀλλὰ φύσι γὰρ κατὰ τῆς γῆς ὀρύσσουσιν, ἵνα φωλεύοιεν· κατάπερ οἱ ἡμέτεροι οἱ σμικροὶ μύρμηκες ὀλίγον τῆς γῆς ὀρύσσουσιν· (6) ἐκείνους δὲ, εἶναι γὰρ ἀλωπέκων μέζονας, πρὸς λόγον τοῦ μεγέθεος σφῶν καὶ τὴν γῆν ὀρύσσειν· τὴν δὲ γῆν χρυσῖτιν εἶναι, καὶ ἀπὸ ταύτης γίνεσθαι Ἰνδοῖσι τὸν χρυσόν. (7) Ἀλλὰ Μεγασθένης ἀκοὴν ἀπηγέεται. Antecedit Nearchi fr. 12.

Cf. Dio Chrysostom. Or. 35 p. 436 ed. Morell : Τὸ δὲ χρυσίον λαμβάνουσι παρὰ μυρμήκων. Οὗτοι δέ εἰσιν ἀλωπέκων μείζονες, τἆλλα δὲ ὅμοιοι τοῖς παρ' ὑμῖν· ὀρύττουσι δὲ κατὰ γῆς ὥσπερ οἱ λοιποὶ μύρμηκες. Ὁ δὲ χοῦς αὐτοῖς ἐστι χρυσίον καθαρώτατον πάντων χρυσίων καὶ στιλπνότατον. Εἰσὶν οὖν πλησίον ἐφεξῆς, ὥσπερ κολωνοὶ τοῦ ψήγματος, καὶ τὸ πεδίον ἅπαν ἀστράπτει· χαλεπὸν οὖν ἰδεῖν ἐστι πρὸς τὸν ἥλιον, καὶ πολλοὶ τῶν ἐπιχειρούντων ἰδεῖν τὰς ὄψεις διεφθάρησαν. Οἱ δὲ προσοικοῦντες ἄνθρωποι τὴν μεταξὺ χώραν διελθόντες ἔρημον οὖσαν οὐ πολλὴν ἐφ' ἁρμάτων, ὑποζεύξαντες ἵππους ταχίστους, ἀφικνοῦνται τῆς μεσημβρίας, ἡνίκα δεδύκασι κατὰ γῆς· ἔπειτα φεύγουσι τὸν χοῦν ἁρπάσαντες. Οἱ δὲ αἰσθανόμενοι διώκουσι καὶ μάχονται καταλαβόντες, ἕως ἀποθάνωσιν ἢ ἀποκτείνωσιν· ἀλκιμώτατοι γάρ εἰσι θηρίων ἁπάντων· ὥστε οὗτοί γε ἐπίστανται τὸ χρυσίον, ὁπόσου ἐστὶν ἄξιον, καὶ οὐδὲ προΐενται πρότερον ἢ ἀποθανεῖν.

Cf. Ælianus H. An. III, 4; XVI, 15; Plinius XI, 36; Propert. III, 13, 5; Pompon. Mela VII, 2; Isidor. XII, 3; Clem. Alex. Pædag. II, p. 207;

---

39.

Megasthenes de his formicis loquens ait, apud Derdas, quæ magna gens est Indorum montanorum et orientalium planitiem quandam montanam esse ter mille stadiorum, ambitu, et sub ea aurifodinas, quas effodiant formicæ vulpibus magnitudine non minores, mira celeritate, victum e venatione comparantes. Fodere autem terram per hiemem et ad ostium accumulare, quemadmodum solent talpæ. Hujus auri ramenta, id enim sunt, parva decoctione egent. Vicini jumentis ea clam rapiunt ; aperte enim non possunt, prohibentibus formicis, quæ et pugnant et fugientes insectantur, quos quum deprehenderint, una cum jumentis interimunt. Ut ergo illas lateant, ferinas carnes per loca plurima disponunt, itaque ad prædam dissipatis formicis, auri ramenta ipsi asportant, et fusionis ignari cuicunque mercatori rudia divendunt.

Megasthenes certa veraque esse quæ de formicis scribuntur dicit : eas nimirum esse quæ aurum e terra effodiant,

διδόναι· τὰς δ' ἥδιστα ἀκροωμένας, μᾶλλον εὐτέκνους εἶναι νομίζεσθαι. Μετὰ δὲ τὴν γένεσιν ἄλλους καὶ ἄλλους διαδέχεσθαι τὴν ἐπιμέλειαν, ἀεὶ τῆς μείζονος ἡλικίας χαριεστέρων τυγχανούσης διδασκάλων. Διατρίβειν δὲ τοὺς φιλοσόφους ἐν ἄλσει πρὸ τῆς πόλεως, ὑπὸ περιβόλῳ συμμέτρῳ, λιτῶς ζῶντας ἐν στιβάσι καὶ δοραῖς, ἀπεχομένους ἐμψύχων καὶ ἀφροδισίων, ἀκροωμένους λόγων σπουδαίων, μεταδιδόντας καὶ τοῖς ἐθέλουσι· τὸν δ' ἀκροώμενον οὔτε λαλῆσαι θέμις, οὔτε χρέμψασθαι, ἀλλ' οὐδὲ πτύσαι· ἢ ἐκβάλλεσθαι τῆς συνουσίας τὴν ἡμέραν ἐκείνην, ὡς ἀκολασταίνοντα. Ἔτη δ' ἑπτὰ καὶ τριάκοντα οὕτως ζήσαντα ἀναχωρεῖν εἰς τὴν ἑαυτοῦ κτῆσιν ἕκαστον, καὶ ζῆν ἀδεῶς καὶ ἀνειμένως μᾶλλον, σινδονοφοροῦντα καὶ χρυσοφοροῦντα μετρίως ἐν ταῖς χερσὶ καὶ τοῖς ὠσὶ, προσφερόμενον σάρκας τῶν μὴ πρὸς τὴν χρείαν συνεργῶν ζώων, δριμέων καὶ ἀρτυτῶν ἀπεχόμενον· γαμεῖν δ' ὅτι πλείστας εἰς πολυτεκνίαν· ἐκ πολλῶν γὰρ καὶ τὰ σπουδαῖα πλείω γίνεσθαι ἄν· ἀδούλοις οὖσί τε τὴν ἐκ τέκνων ὑπηρεσίαν ἐγγυτάτω οὖσαν πλείω δεῖν παρασκευάζεσθαι. Ταῖς δὲ γυναιξὶ ταῖς γαμεταῖς μὴ συμφιλοσοφεῖν τοὺς Βραχμᾶνας· εἰ μὲν μοχθηραὶ γένοιντο, ἵνα μή τι τῶν οὐ θεμιτῶν ἐκφέροιεν εἰς τοὺς βεβήλους, εἰ δὲ σπουδαῖαι, μὴ καταλείποιεν αὐτούς· οὐδένα γὰρ ἡδονῆς καὶ πόνου καταφρονοῦντα, ὡς δ' αὔτως ζωῆς καὶ θανάτου, ἐθέλειν ὑφ' ἑτέρῳ εἶναι· τοιοῦτον δ' εἶναι τὸν σπουδαῖον καὶ τὴν σπουδαίαν.

Πλείστους δ' αὐτοῖς εἶναι λόγους περὶ θανάτου· νομίζειν γὰρ δὴ τὸν μὲν ἐνθάδε βίον ὡς ἂν ἀκμὴν κυομένων εἶναι· τὸν δὲ θάνατον γένεσιν εἰς τὸν ὄντως βίον καὶ τὸν εὐδαίμονα τοῖς φιλοσοφήσασι· διὸ τῇ ἀσκήσει πλείστῃ χρῆσθαι πρὸς τὸ ἑτοιμοθάνατον· ἀγαθὸν δὲ ἢ κακὸν μηδὲν εἶναι τῶν συμβαινόντων ἀνθρώποις· οὐ γὰρ ἂν τοῖς αὐτοῖς τοὺς μὲν ἄχθεσθαι, τοὺς δὲ χαίρειν, ἐνυπνιώδεις ὑπολήψεις ἔχοντας, καὶ τοὺς αὐτοὺς τοῖς αὐτοῖς τοτὲ μὲν ἄχθεσθαι, τοτὲ δ' αὖ χαίρειν μεταβαλλομένους. Τὰ δὲ περὶ φύσιν, τὰ μὲν εὐήθειαν ἐμφαίνειν φησίν· ἐν ἔργοις γὰρ αὐτοὺς κρείττους ἢ λόγοις εἶναι, διὰ μύθων τὰ πολλὰ πιστουμένους· περὶ πολλῶν δὲ τοῖς Ἕλλησιν ὁμοδοξεῖν (cf. fr. 41)· ὅτι γὰρ γενητὸς ὁ κόσμος καὶ φθαρτὸς, λέγειν κἀκείνους, καὶ ὅτι σφαιροειδής· ὅ τε διοικῶν αὐτὸν καὶ ποιῶν θεὸς δι' ὅλου διαπεφοίτηκεν αὐτοῦ· ἀρχαὶ δὲ τῶν μὲν συμπάντων ἕτεραι, τῆς δὲ κοσμοποιίας τὸ ὕδωρ· πρὸς δὲ τοῖς τέτταρσι στοιχείοις πέμπτη τίς ἐστι φύσις, ἐξ ἧς ὁ οὐρανὸς καὶ τὰ ἄστρα· γῆ δ' ἐν μέσῳ ἵδρυται τοῦ παντός· καὶ περὶ σπέρματος δὲ καὶ ψυχῆς ὅμοια λέγεται, καὶ ἄλλα πλείω· παραπλέκουσι δὲ καὶ μύθους, ὥσπερ καὶ Πλάτων περί τε ἀφθαρσίας ψυχῆς, καὶ τῶν καθ' ᾅδου κρίσεων, καὶ ἄλλα τοιαῦτα. Περὶ μὲν τῶν Βραχμάνων ταῦτα λέγει.

Τοὺς δὲ Σαρμάνας, τοὺς μὲν ἐντιμοτάτους Ὑλοβίους φησὶν ὀνομάζεσθαι, ζῶντας ἐν ταῖς ὕλαις ἀπὸ φύλλων καὶ καρπῶν ἀγρίων, ἐσθῆτας δ' ἔχειν ἀπὸ φλοιῶν δενδρείων, ἀφροδισίων χωρὶς καὶ οἴνου· τοῖς δὲ βασιλεῦσι συνεῖναι, δι' ἀγγέλων πυνθανομένοις περὶ τῶν αἰτίων, καὶ δι' ἐκείνων θεραπεύουσι καὶ λιτανεύουσι τὸ θεῖον. Μετὰ δὲ τοὺς Ὑλοβίους δευτερεύειν κατὰ τιμὴν τοὺς ἰατρικοὺς, καὶ ὡς περὶ τὸν ἄνθρωπον φιλοσόφους, λιτοὺς μὲν, μὴ ἀγραύλους δὲ, ὀρύζῃ καὶ ἀλφίτοις τρεφομένους, ἃ παρέχειν αὐτοῖς πάντα τὸν αἰτηθέντα καὶ ὑποδεξάμενον ξενίᾳ· δύνασθαι δὲ καὶ πολυγόνους ποιεῖν, καὶ ἀρρενογόνους, καὶ θηλυγόνους διὰ φαρμακευτικῆς· τὴν δὲ ἰατρείαν διὰ σιτίων τὸ πλέον, οὐ διὰ φαρμάκων ἐπιτελεῖσθαι· τῶν φαρμάκων δὲ μάλιστα εὐδοκιμεῖν τὰ ἐπίχριστα καὶ τὰ καταπλάσματα· τἆλλα δὲ κακουργίας πολὺ μετέχειν. Ἀσκεῖν δὲ καὶ τούτους κἀκείνους καρτερίαν, τήν τε ἐν πόνοις καὶ τὴν ἐν ταῖς ὑπομοναῖς, ὥστ' ἐφ' ἑνὸς σχήματος ἀκίνητον διατελέσαι τὴν ἡμέραν ὅλην. Ἄλλους δ' εἶναι τοὺς μὲν μαντικοὺς

et matri et concepto accedentes, in speciem quidem incantando proli et matri felicitatem conciliant, sed re vera quædam continentiæ præcepta dant : matres, quæ libenter eos audiant, eo feliciores prole fore existimant. Postquam vero nati sunt, alios et alios curatores sortiuntur : nam quo magis ætas adolescit, tanto elegantiores magistros succedunt. Philosophos istos ante urbem in luco degere intra mediocrem ambitum, quo cingantur : frugaliter vivere, supra toris ac pellibus jacere, animalibus ac venere abstinere, seriis sermonibus intentos et cum volentibus audire eos communicantes. Auditori autem non licere neque loqui nec screare aut exspuere; alioqui diem illam cœtu excludi ut incontinentem. Quum triginta et septem annos sic vixerint, in sua secedere, et laxius licentiusque vivere, sindonem induere, aurum in manibus et auribus moderate gestare, et carnibus vesci animalium, quæ hominum opera non adjuvant; ab acribus et condimentis abstinere; quam plurimas ducere uxores multiplicandæ prolis causa : nam e pluribus plura etiam nasci bona : servis si careant, eorum vices ministerio liberorum suorum eos compensare, quum proximum adsit. Brachmanes cum uxoribus non philosophari, ne, si improbæ sint, aliquid quod efferri nefas sit, in profanos efferant : si probæ, ne viros relinquant. Nam qui voluptatem ac dolorem, vitam et mortem æque contemnat, subsidium esse alteri nolle; hujusmodi autem esse probum et probam. Plurimas eorum disputationes de morte esse : nam hanc vitam habendam esse quasi recens conceptorum hominum statum : mortem vero partum in veram illam ac felicem vitam iis qui recte philosophati sint. Propterea eos multa se exercitatione ad mortem præparare : nihil eorum, quæ hominibus accidere dicuntur, bonum esse vel malum : neque enim futurum, ut iisdem e rebus alii molestiam, alii gaudium caperent, somni similes opiniones concipientes : ut iidem interdum angerentur, interdum immutati gauderent. Eorum vero, quæ ad naturæ cognitionem pertinent, quædam dicit stultitiam ab iis censeri, ut qui factis quam verbis malint se bonos demonstrare, et pleraque fabulis confirment; de multis vero cum Græcis sentire, ut quod mundus sit ortus et interiturus et sphæricus; et quod conditor et administrator ejus deus universum eum pervadat : universarum rerum primordia diversa esse, mundi autem aquam, et præter quattuor elementa quintam quandam naturam esse e qua cœlum astraque constent; terram in medio sitam universi; de semine, de anima alii-

καὶ ἐπῳδοὺς καὶ τῶν περὶ τοὺς κατοιχομένους λόγων καὶ νομίμων ἐμπείρους, ἐπαιτοῦντας καὶ κατὰ κώμας καὶ πόλεις· τοὺς δὲ χαριεστέρους τῶν καθ' ᾅδου θρυλουμένων, ὅσα δοκεῖ πρὸς εὐσέβειαν καὶ ὁσιότητα· συμφιλοσοφεῖν δ' ἐνίοις καὶ γυναῖκας, ἀπεχομένας καὶ αὐτὰς ἀφροδισίων.

Σαρμάνας (indice: *çramanæ* i. e. ascetæ) pro Γαρμᾶνας scripsimus cum Lassenio in *Rhein. Mus.* 1833, et Schwanbeckio l. l. p. 46.

41.

Clem. Alex. Strom. I, p. 305 D Col.; p. 132, a Sylb. (ex eoque Eusebius P. E. IX, p. 410): Μεγασθένης ὁ συγγραφεὺς ὁ Σελεύκῳ τῷ Νικάτορι συμβεβιωκὼς ἐν τῇ τρίτῃ τῶν Ἰνδικῶν ὧδε γράφει· « Ἅπαντα μέντοι τὰ περὶ φύσεως εἰρημένα παρὰ τοῖς ἀρχαίοις λέγεται καὶ παρὰ τοῖς ἔξω τῆς Ἑλλάδος φιλοσοφοῦσι, τὰ μὲν παρ' Ἰνδοῖς ὑπὸ τῶν Βραχμάνων, τὰ δὲ ἐν τῇ Συρίᾳ ὑπὸ τῶν καλουμένων Ἰουδαίων. »

Quæ jungas verbis Strabonis (fr. 40): περὶ πολλῶν δὲ τοῖς Ἕλλησιν ὁμοδοξεῖν. Eadem etiam (e Clemente) affert Cyrillus C. Julian. IV, p. 136. Paris. 1638, sed perperam pro Megasthene laudat Onesicritum.

Cf. Clemens l. l. p. 305, D Col.: Διττὸν δὲ τούτων τὸ γένος· οἱ μὲν Σαρμᾶναι αὐτῶν, οἱ δὲ Βραχμᾶναι καλούμενοι· καὶ τῶν Σαρμανῶν οἱ Ὑλόβιοι προσαγορευόμενοι οὔτε πόλεις οἰκοῦσιν οὔτε στέγας ἔχουσιν, δένδρων δὲ ἀμφιέννυνται φλοιοῖς, καὶ ἀκρόδρυα σιτοῦνται καὶ ὕδωρ ταῖς χερσὶ πίνουσιν· οὐ γάμον, οὐ παιδοποιίαν ἴσασιν, [ὥσπερ οἱ νῦν Ἐγκρατηταὶ καλούμενοι, εἰσὶ δὲ τῶν Ἰνδῶν οἱ τοῖς Βούττα πειθόμενοι παραγγέλμασιν, ὃν δι' ὑπερβολὴν σεμνότητος ὡς θεὸν τετιμήκασι.]

Eadem et alia quædam de Brachmanibus, quæ ex parte fortasse ad Megasthenem referenda sunt, habes, ap. Pseudophilosoph. 24, vol. I, p. 904 Paris. 1733. — Apud Clementem codd. pro Ὑλόβιοι præbent Ἀλλόβιοι, quod e Strabone correxit Schwanbeckius. Ceterum num Sarmanæ sint Buddhaici necne, inter viros rerum Indicarum peritissimos non convenit. De hac re ita Schwanbeckius p. 17: « Diligenter alteram sententiam Bohlenius, Lassenius alteram cum ea, qua solet, doctrina et omnium rerum circumspectione defendit (*Bohlen*. De Buddhaismi origine et ætate definiendis; *Lassen*. De nominibus, quibus a veteribus appellantur Indorum philosophi. *Rhein. Mus.* 1833, p. 171—190.) Bohlenius, ut Sarmanarum nomine Buddhaicos significari ostendat, primo nominis argumento utitur: Sarmanarum enim nomen respondere dicit tum sanscritæ voci *çraman'a*, qua Buddhaici appellentur, tum nomini Σαμαναῖοι, quo verbo ex Palica voce *sammana* (i. e. *çraman'a*) formato quin Græci Buddhaicos significaverint, nihil dubitationis habet. Contra dixit Lassenius, *çraman'a* non modo Buddhaicis, sed sæpissime etiam Brahmanis attribui. Sed ipse nunc cum ea, qua est, humanitate mecum communicavit V. D., vocem *çraman'a* perpetuum Buddhaicorum ascetarum nomen, Brahmanicorum rarius esse. Itaque hoc Bohlenii argumentum, etsi ad expediendam rem non sufficit, tamen non infirmum manet.

« Addidit deinde Lassenius hanc sententiam: *Si usum utriusque vocabuli apud veteres respexeris, invenies nullo prorsus loco unum pro altero poni aut invicem permutari: cujus constantiæ certa quædam causa esse debet.* Quod argumentum haud scio an aliquantum firmitatis habeat. Sarmanæ enim bis tantum, Samanæi, nisi fallor, quinquies a Græcis Romanisque scriptoribus omnibus memorantur. (Bardesan. ap. Porphyr. De abstin. IV, 17, Clem. Alex. Strom. I. 305, Origen. Contra Celsum I ed. Delarue, Paris. 1733, t. I, p. 343, Alexander Polyhist. ap. Cyrill. Contra Julian. IV, p. 133, E. ed. Paris. 1638, Hieronym. Ad Jovinian. II. ed. Paris. 1706, t. II, part. 2, p. 206.) Qui numeri, si scriptorum fontes exquisiveris, ad tres redigun-

---

que compluribus similia eos dicere: texere etiam fabulas quasdam, quemadmodum Plato, de immortalitate animæ, et de judiciis quæ apud inferos fiant, et alia hujusmodi non pauca. Ac de Brachmanibus quidem hactenus.

Sarmanarum eos honoratissimos ait, qui Hylobii vocantur ex eo, quod in silvis degunt, e frontibus et silvestribus fructibus viventes, vestem ex arborum corticibus habentes, vini et veneris expertes. Hos cum regibus de causis rerum interrogantibus per nuntios colloqui, et per illos divina a regibus coli et placari. Post silvicolas in honore medicos esse, ut qui circa hominem philosophentur, frugales quidem, non tamen sub divo degentes, oryza et farina viventes, quæ nemo rogatus et hospitio eos excipiens non largiatur. Posse eos etiam fecundos facere, et marium et feminarum procreationem medicamentis præstare. Medicinam plurimam per cibos perfici, non autem per medicamenta: ex medicamentis maxime unctiones probari et cataplasmata, quod cetera maleficii non sint expertia. Atque tum hos tum illos in laboribus et tolerantia constantiam exercere, adeo ut per totam diem in eodem gestu immoti perseverent. Alios esse quosdam divinatores incantatoresque et rituum et sermonum, qui circa defunctos sunt, non ignaros, errantes per vicos et urbes. Alios vero his elegantiores atque urbaniores, qui eorum quæ de inferis memorantur et quæ ad pietatem sanctimoniamque pertinent, periti sint. Cum nonnullis mulieres quoque philosophari a venereis item abstinentes.

41.

Megasthenes historiarum scriptor, qui cum Seleuco Nicatore vixit, libro tertio De rebus Indorum scribit hunc in modum. « Quæcunque de rerum natura ab antiquis dicuntur, eadem etiam ab iis philosophis, qui extra Græciam sunt, docentur, partim a Brachmanibus Indorum, partim a Judæis Syriæ. »

tur, ita ut Sarmanas solus *Megasthenes*, Samanæos *Alexander Polyhistor* et *Bardesanes* memoraverint. Quid igitur in eo est mirum, quod Megasthenes, si Buddhaicos significare voluerit, sanscrita voce *çraman'a* usus est, postea vero Bardesanes et Alexander Polyhistor palica voce *sammana*, quæ cum lingua palica postea in usum venerat? Quid mirum in eo, quod scriptores, qui illis auctoribus usi Sarmanas vel Samanæos memorant, nomina non permutaverunt? Quod si fecissent, quum in re tam longinqua et incognita nonnisi ad verbum illos exscribere possent, magis mirum videri poterat.

« Alterum Bohlenius argumentum attulit convenientiam morum, qui in Sarmanis et Samanæis simillime describantur. Lassenius contra, hoc exemplum impugnans, docte exposuit, multum interesse inter Sarmanarum vitam et Samanæorum, qualis utraque a veteribus describatur, easque res, quæ utrisque communes memorentur, communes esse omnium sectarum Indicarum asceticis. Quod argumentum, etsi gravissimum est, non ita solvit quæstionem, ut de hac re dubitari non amplius possit. Nam haud omittendum est, neque Sarmanarum descriptionem neque Samanæorum integram superesse, totasque igitur, quarum singulæ partes nunc inter se discrepare videntur, facillime potuisse consentire.

« Contendit deinde Lassenius, satis apparere ex his verbis, quæ apud Clementem l. l. adduntur : εἰσὶ δὲ τῶν Ἰνδῶν οἱ τοῖς Βούττα πειθόμενοι παραγγέλμασιν etc., Sarmanas alios esse atque Samanæos s. Buddhaicos. Lassenius igitur sicut Colebrookius *As. Res.* IX, p. 299, in hunc modum locum laudatum interpretatus est: Sunt qui inter Indos Buddhæ præcepta sequantur s. nonnulli inter Indos... sequuntur. Neque negari potest, verba εἰσὶν οἱ πειθόμενοι ita posse explicari, ut eam, quam Lassenius vult, sententiam habeant, quamvis vocem καὶ additam, et voces εἰσὶν οἱ non sejunctas ex usu Græci sermonis exspectes. Sed etiamsi hæc omiseris, ad demonstrandum nihil omnino ille locus valet, quem non minus licet in hanc sententiam interpretari : Sunt vero (scil. Sarmanæ, de quibus modo dixit) ii qui Buddhæ præcepta sequuntur. Quemadmodum si istum locum explicaveris, contrarium ex eo apparere vides, quam quod Lassenius dixit, et ostendi, Buddhaicos esse Sarmanas. Vix autem ullus Clementem ex sua ipsius scientia verba ista addidisse suspicabitur.

« Si breviter totam quæstionem complectimur, omissis illis, quæ, quum dubia et ambigua sint, neutri parti certa argumenta esse possunt, una utrique opinioni restat causa : alteram enim nomen, descriptio alteram magis adjuvat. Quod quum ita sit, eam sententiam superiorem facile existimaveris, quæ totius descriptionis, quam quæ solius nominis argumento utitur. Sed ei judicio, quod defendit Bohlenius, aliquantum ponderis affert, quod tam definite Brahmanis Megasthenes Sarmanas opposuit. Nam mirum sane fuerit, Brahmanis tam distincte eos opponi, qui ipsi Brahmanæ erant. Et omnino, quum constet, Megasthenis tempore exstitisse in India Buddhaicorum sectam a Brahmanis dissidentem, deinde quum animadverterit ille dissidium, quod inter Brahmanas alteramque sectam fuerit, postremo, quum hanc alteram eodem appellaverit nomine, quo solent Buddhaici vocari, vix ullum *verisimilius videtur quam eosdem esse Buddhaicos Sarmanasque.*

« Sed accedit alia causa et gravior. Nam non solum eodem modo et pæne iisdem verbis etiam Samanæos veteres scriptores opponere Brahmanis solent, sed etiam ii loci, quibus Bardesanes Samanæos s. Buddhaicos describit, cum Megasthene mire congruunt. Nec tamen affirmaverim, Bardesanem in hac re Megasthenis solum vestigia secutum esse, neque quidquam addidisse de suo, sed hoc certe ausim contendere, *Bardesanem in Samanæis describendis Megasthenem respexisse et in quadam parte esse secutum.* Quod ut appareat, Bardesanis et Megasthenis hos locos componam :

| Bardesan. ap. Hieron. Ad Jovin. (et ap. Porphyr.) | Megasth. ap. Strab. (et ap. Clem. Alex.) |
|---|---|
| *Bardesanes, vir Babylonius,* | Ἄλλην δὲ διαίρεσιν ποιεῖται περὶ τῶν φιλοσόφων, |
| *In duo dogmata apud Indos Gymnosophistas dividit,* | δύο γένη φάσκων, |
| *quorum alterum appellat Bragmanas,* | ὧν τοὺς μὲν Βραχμᾶνας καλεῖ, |
| *alterum Samanæos;* | τοὺς δὲ Σαρμᾶνας, |
| *qui tantæ continentiæ sint, ut vel pomis arborum juxta Gangem fluvium* | (καὶ ἀκρόδρυα σιτοῦνται Clem. Al.) |
| *vel oryza vel farinæ alantur cibo;* | ὀρύζῃ καὶ ἀλφίτοις τρεφομένους. |
| *et quum rex ad eos venerit, adorare illos solitus sit, pacemque suæ provinciæ in illorum precibus arbitrari sitam.* | τοῖς δὲ βασιλεῦσι συνεῖναι δι' ἀγγέλων πυνθανομένοις περὶ τῶν αἰτίων, καὶ δι' ἐκείνων θεραπεύουσι καὶ λιτανεύουσι τὸ θεῖον. |
| Plenius hanc partem Porphyrius tradidit : | |
| Ἀγύναιοι δ' εἰσὶ πάντες | (οὐ γάμον οὐδὲ παιδοποιίαν ἴσασιν. Clem.) |
| καὶ ἀκτήμονες· καὶ τοσοῦτον αὐτῶν τε καὶ τῶν Βραχμανῶν σέβας ἔχουσιν οἱ ἄλλοι, ὥστε καὶ τὸν βασιλέα ἀφικνεῖσθαι παρ' αὐτούς, καὶ ἱκετεύειν εὔξασθαί τι, καὶ δεηθῆναι ὑπὲρ τῶν καταλαμβανόντων τὴν χώραν, ἢ συμβουλεῦσαι τὸ πρακτέον. | τοῖς δὲ βασιλεῦσι συνεῖναι, etc. |

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

SAVE $3,999,994

Did you know we sell paperback books too?

To buy our entire catalog in paperback would cost over $4,000,000

Access it all now for $8.99/month

*Fair usage policy applies

Continue

# DAIMACHUS PLATÆENSIS.

# PATROCLES.

Daimachus * (Δηίμαχος Strabo, et Schol. Ap. Rhod. fr. 7) Platæensis (fr. 4. 8. coll. fr. 6) post Megasthenem a Seleuco, uti videtur, Palimbothra legatus missus est ad regem Allitrochaden (Indice *Amitraghatas*, i. e. *hostium debellator*. V. Bohlen. *D. alte Ind.* I, p. 92), qui Sandrocotto patri successerat (Strabo II, p. 70. Vide Megasthen. fr. 10). Regnavit Allitrochades ab anno 288 usque ad an. 263 vel 260 a. C., siquidem recte calculos subduxit Benfey. in *Ersch. u. Gruber. Encyclop.* s. v. *Indien* p. 66. Daimachus vero ὑπομνήματα τῆς ἀποδημίας condidit, quorum memoria periit ferme omnis, vel auctoris culpa vel fortunæ. Fides, si Strabonem l. l. audias, fuit minima. Ἅπαντες οἱ περὶ τῆς Ἰνδικῆς γράψαντες ὡς ἐπὶ τὸ πολὺ ψευδολόγοι, καθ' ὑπερβολὴν δὲ Δηίμαχος· τὰ δὲ δεύτερα λέγει Μεγασθένης κτλ. et paullo post: διαφερόντως δ' ἀπιστεῖν ἄξιον Δηιμάχῳ τε καὶ Μεγασθένει. Jam exprobrat iis ineptas istas de populis monstrosis fabellas, de quibus vidimus supra. Nihil hæc impediunt quin cetera probatus Daimachus auctor fuerit, quæ Megasthenes minus recte dixerat vel omiserat, corrigere vel supplere studens; quamquam accidit ei ut inepte Megasthenem reprehenderit. Exemplo sit fragm. 2.

